UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

6. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

[ἠκέϲατ᾽· οὐ μὲν γάρ τι καταθνητόϲ γ᾽ ἐτέτυκτο].
ὡϲ δ᾽ ὅτ᾽ ὀπὸϲ γάλα λευκὸν ἐπειγόμενοϲ ϲυνέπηξεν
ὑγρὸν ἐόν, μάλα δ᾽ ὦκα περιτρέφεται κυκόωντι,
ὣϲ ἄρα καρπαλίμωϲ ἰήϲατο θοῦρον Ἄρηα.
τὸν δ᾽ Ἥβη λοῦϲεν, χαρίεντα δὲ εἵματα ἕϲϲε·
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
αἳ δ᾽ αὖτιϲ πρὸϲ δῶμα Διὸϲ μεγάλοιο νέοντο
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηὶϲ Ἀθήνη,
παύϲαϲαι βροτολοιγὸν Ἄρην ἀνδροκταϲιάων.

## ΙΛΙΑΔΟϹ Ζ.

Τρώων δ᾽ οἰώθη καὶ Ἀχαιῶν φύλοπιϲ αἰνή·
πολλὰ δ᾽ ἄρ᾽ ἔνθα καὶ ἔνθ᾽ ἴθυϲε μάχη πεδίοιο,
ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
μεϲϲηγὺϲ Ϲιμόεντοϲ ἰδὲ Ξάνθοιο ῥοάων.

V. l. 901 omitt. CDL Townl. in textu, Lips. Vrat. A. Mosc. 1. ἐν ἄλλῳ ὁ ϲτίχοϲ οὐχ εὕρηται A in margine. γρ. φάρμακα πάϲϲων ἠκέϲατ᾽, οὐ μὲν γάρ τι κατὰ θνητόϲ γε τέτυκτο C in margine. κατὰ θνητόϲ MO. κατὰ θνητὸν Vrat. b. κατὰ θνητοὺϲ Vrat. a. γε τέτυκτο S Cant. — 902 ἐπειγόμενον DGS Mor. Townl. man. sec. Mosc. 1. 2. — 903 περιτρέφεται Cram. An. Par. III, 215, 20. Apoll. Lex. 130, 14. Eust. 1339, 19. Schol. Ξ 308: libri περιϲτρέφεται. — 904 ὡϲ A. — 905 τόνδε G. λοῦϲε GNO Lips. χαρίεντά τε HS Vrat. a. εἵματα ἕϲϲεν D. ἕϲϲε AMNO. — 906 παρ CD. — 907 αἳ δ᾽ DMNO. αἶδ᾽ CGL. αἶδ᾽ H. — 909 παύϲαϲθαι Mosc. 1. βροτολοιγὸν A. ἄρην ACDEGHLMNO. ἄρη᾽ Cant. ἄρηα S.

A. c. 903 περιτρέφεται Herodianus apud Eust. 620, 14 et Cram. An. Par. III, 215, 14. conf. ι 246, ξ 477, ubi sex libri περιϲτρέφετο pro περιτρέφετο exhibent. — 906 asteriscus (cum obelo, qui deest in codice): ὀρθῶϲ A 405, ubi vide Aristonicum. τὸ ἔποϲ Ζηνόδοτοϲ ἀθετεῖ Schol. B. Ἀρίϲταρχοϲ ἀθετεῖ Schol. LV. — 909 Ἄρην Herodianus, conf. ad 757. sed haud scio an Ἄρη praeferendum sit, quod propter hiatum, qui h. l. est nullus (conf. ad B 198) in Ἄρην mutatum videtur esse.

V. l. 1 τρώων L. — 2 δ᾽ ἄρ᾽: δ᾽ ἆρ DGMNO. δ᾽ ἀρ A. γὰρ H. δὲ E. ἔνθα ἴθυϲε DMNOS Schol. Θ 106. — 3 ἰθυνόντων S. — 4 ἰδὲ: ἠδὲ GN.

A. c. 4 ἐν τοῖϲ ἀρχαίοιϲ (i. e. in exemplaribus prioris editionis Aristarcheae. τοῖϲ Ἀριϲταρχείοιϲ Lehrsius. ἐν τῇ προτέρᾳ τῶν Ἀριϲταρχείων Bekkerus) ἐγέγραπτο „μεϲϲηγὺϲ ποταμοῖο Ϲκαμάνδρου καὶ ϲτομαλίμνηϲ.“ διὸ καὶ ἐν τοῖϲ ὑπομνήμαϲι φέρεται. καὶ ὕϲτερον δὲ περιπεϲὼν (sc. Ἀρίϲταρχοϲ) ἔγραψε „μεϲϲηγὺϲ Ϲιμόεντοϲ ἰδὲ Ξάνθοιο ῥοάων“ Aristonicus. Χάρηϲ (Χαῖριϲ) δὲ γράφει μεϲϲηγὺϲ ποταμοῖο Ϲκαμάνδρου καὶ Ϲιμόεντοϲ Schol. BLV, conf. H. T. 81, n. 147.

Αἴαϲ δὲ πρῶτοϲ Τελαμώνιοϲ, ἕρκοϲ Ἀχαιῶν,
Τρώων ῥῆξε φάλαγγα, φόωϲ δ᾽ ἑτάροιϲιν ἔθηκεν,
ἄνδρα βαλών, ὃϲ ἄριϲτοϲ ἐνὶ Θρῄκεϲϲι τέτυκτο,
υἱὸν Ἐυϲϲώρου, Ἀκάμαντ᾽ ἠύν τε μέγαν τε.
τόν ῥ᾽ ἔβαλε πρῶτοϲ κόρυθοϲ φάλον ἱπποδαϲείηϲ,
ἐν δὲ μετώπῳ πῆξε, πέρηϲε δ᾽ ἄρ᾽ ὀϲτέον εἴϲω
αἰχμὴ χαλκείη· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψεν.
Ἄξυλον δ᾽ ἄρ᾽ ἔπεφνε βοὴν ἀγαθὸϲ Διομήδηϲ
Τευθρανίδην, ὃϲ ἔναιεν ἐυκτιμένῃ ἐν Ἀρίϲβῃ
ἀφνειὸϲ βιότοιο, φίλοϲ δ᾽ ἦν ἀνθρώποιϲι·
πάνταϲ γὰρ φιλέεϲκεν ὁδῷ ἔπι οἰκία ναίων.
ἀλλά οἱ οὔ τιϲ τῶν γε τότ᾽ ἤρκεϲε λυγρὸν ὄλεθρον
πρόϲθεν ὑπαντιάϲαϲ, ἀλλ᾽ ἄμφω θυμὸν ἀπηύρα,
αὐτὸν καὶ θεράποντα Καλήϲιον, ὅϲ ῥα τόθ᾽ ἵππων
ἔϲκεν ὑφηνίοχοϲ· τὼ δ᾽ ἄμφω γαῖαν ἐδύτην.
Δρῆϲον δ᾽ Εὐρύαλοϲ καὶ Ὀφέλτιον ἐξενάριξε·
βῆ δὲ μετ᾽ Αἴϲηπον καὶ Πήδαϲον, οὕϲ ποτε νύμφη
νηὶϲ Ἀβαρβαρέη τέκ᾽ ἀμύμονι Βουκολίωνι.
Βουκολίων δ᾽ ἦν υἱὸϲ ἀγαυοῦ Λαομέδοντοϲ
πρεϲβύτατοϲ γενεῇ, ϲκότιον δέ ἑ γείνατο μήτηρ·
ποιμαίνων δ᾽ ἐπ᾽ ὄεϲϲι μίγη φιλότητι καὶ εὐνῇ,
ἡ δ᾽ ὑποκυϲαμένη διδυμάονε γείνατο παῖδε.
καὶ μὲν τῶν ὑπέλυϲε μένοϲ καὶ φαίδιμα γυῖα
Μηκιϲτηιάδηϲ, καὶ ἀπ᾽ ὤμων τεύχε᾽ ἐϲύλα.
Ἀϲτύαλον δ᾽ ἄρ᾽ ἔπεφνε μενεπτόλεμοϲ Πολυποίτηϲ·

---

V. l. 6 τρῴων GL. — 7 βαλὼν: λαβὼν H. ἐν M. — 8 εὐϲώρου N. ἀκάμαντα MO. — 9 τὸν ῥὰ βάλε G. — 10 πέρηϲεν H. ἆρ DGLMNO. ἀρ A. — 11 τονδε D. ὅϲϲ᾽ ἐκάλυψεν CHLMOS et Heynii libri praeter Mor. — 12 ἄζυλον Vrat. 1 (sic). ἆρ DGLMNO. ἀρ A. — 14 ἀνθρώποιϲι ACDEGHNO. — 15 πάνταϲ μὲν Schol. Ζ 305. ἔπι: ἐπὶ CGL. ἔπι O (sic). ἐνὶ HN. ἐπιοικία D. — 16 τῶν γε: τόνγε A. — 17 ἀπηῦρα D. ἀπηύρεν G ex corr. — 18 ὃϲ ῥὰ DNO. — 19 ὑφ᾽ ἡνίοχοϲ ACDH 1. man. LMO 1. man. τὼ δ᾽: τὼ H. τώγ᾽ G. — 20 δρῆϲόντ᾽ H. ἐξενάριξε ACGHMNO. — 22 νηῖϲ βαρβαρέη N. — 24 δὲ ἓ G. δ᾽ ἑ D. — 26 ἥδ᾽ CGHLMNO. ὑποκυϲαμένη NO: ὑποκυϲϲαμένη ACDEGHLMS Lips. διδυμάον᾽ ἐγείνατο M Mosc. 1. — 27 καὶ μὴν . . . . ἐπέλυϲε Mosc. 1. — 28 μηκιϲτιάδηϲ DL. — 29 ἄϲτυλλον Mosc. 3. ἆρ DEGLMNO. ἀρ A.

---

A. c. 21 οἱ περὶ Ἀρίϲταρχον Πήρεχον τὴν Πήδαϲον λέγουϲιν Schol. BLV.

Πιδύτην δ' Ὀδυϲεὺϲ Περκώϲιον ἐξενάριξεν
ἔγχεϊ χαλκείῳ, Τεῦκροϲ δ' Ἀρετάονα δῖον.
Ἀντίλοχοϲ δ' Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ
Νεϲτορίδηϲ, Ἔλατον δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ναῖε δὲ Ϲατνιόεντοϲ ἐυῤῥείταο παρ' ὄχθαϲ
Πήδαϲον αἰπεινήν. Φύλακον δ' ἕλε Λήιτοϲ ἥρωϲ
φεύγοντ'· Εὐρύπυλοϲ δὲ Μελάνθιον ἐξενάριξεν.
Ἄδρηϲτον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸϲ Μενέλαοϲ
ζωὸν ἕλ'· ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο,
ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ, ἀγκύλον ἅρμα
ἄξαντ' ἐν πρώτῳ ῥυμῷ αὐτὼ μὲν ἐβήτην
πρὸϲ πόλιν, ᾗ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο,
αὐτὸϲ δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίϲθη
πρηνὴϲ ἐν κονίῃϲιν ἐπὶ ϲτόμα. πὰρ δέ οἱ ἔϲτη
Ἀτρείδηϲ Μενέλαοϲ ἔχων δολιχόϲκιον ἔγχοϲ.
Ἄδρηϲτοϲ δ' ἄρ' ἔπειτα λαβὼν ἐλλίϲϲετο γούνων·
ζώγρει Ἀτρέοϲ υἱέ, ϲὺ δ' ἄξια δέξαι ἄποινα.
πολλὰ δ' ἐν ἀφνειοῦ πατρὸϲ κειμήλια κεῖται,
χαλκόϲ τε χρυϲόϲ τε πολύκμητόϲ τε ϲίδηροϲ,
τῶν κέν τοι χαρίϲαιτο πατὴρ ἀπερείϲι' ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυϲὶν Ἀχαιῶν.
ὣϲ φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ ϲτήθεϲϲιν ἔπειθε.

---

V. L. 30 πηδύτην O Barocc. Vrat. a in margine. ὀδυϲϲεὺϲ DGHLM. περκάϲιον Lips. — 31 δ' ἄρ' ἐτάονα Lips. Vrat. b. 1. man. δ' Ἀρετάονα ἢ δ' ἂρ Ἐτάονα Eust. 623, 9. — 32 αὔληρον M. αὔκληρον N. ἐνῄρατο DDGHO. ἐνείρατο Cant. — 34 εὐρείταο O. ἐϋρρύταο N. παρόχθαϲ D. ὄχθαιϲ Strabo XIII, 606. — 35 Φύλακον: Ϲχεδίον Herodianus περὶ μον. λέξ. 18, 6. — 37 ἂρ DGLMNO. ἀρ A. — 38 ζωιὸν C. ἕλεν L. ἵπποι E 656, 9. ἀτυζόμενοι Eust. 656, 9. Apoll. Lex. 46, 22. — 39 ἔνι CE: ἐνὶ GHLM. ἐνιβλαφθέντε ADNO Vrat. b. — 41 οἵπερ N Vrat. a. — 42 ἐξεκυλίϲθῆν H. – 43 ἐπι D. παρ CD. — 45 ἂρ DGLMNO. ἐλίϲϲετο CDGHLMO. λαβὼν, ἐλίϲϲετο N (ἑ 2. man.) — 46 ἀτρέωϲ N. δέξ' G. — 47 κεῖνται G Barocc. — 48 πολύκμητόϲ A. — 49 τῶν: τῶ O 1. man. κέν: καί DN. ἀπειρέϲι' G. — 50 αἴ E Lips. εἴ κε με N. — 51 ὥϲ A. ἐνι A. ἔπειθε HNOS. ἔπειθεν ADM. γρ. ἔπειθε C man. rec. ὄρινε CGL Barocc. Mor. Leid. Mosc. 2. utrumque Harl. ὄρινεν A sup.

---

Α. c. 34 ναῖε δὲ: ὃϲ ναῖε (νάε?) Zenodotus. Ϲατνιόεντοϲ: ὁ γεωγράφοϲ φηϲὶν ὅτι τινὲϲ Ϲαφνιόεντα λέγουϲιν Eust. 623, 20, cf. Strab. XIII, 606. — 51 ἔπειθε ut Ι 384, 386, 587, Μ 173, Π 842, Χ 78, α 43, η 258, ι 33, 500, ψ 230, 337, cum libris melioribus scribendum est, non ὄρινεν, quod recentiores fere omnes receperunt. nam Adrastus pretio proposito Menelao persuadere volebat, ut vitae suae parceret, non autem animum eius ad misericordiam commovere.

καὶ δή μιν τάχ' ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
δώσειν ᾧ θεράποντι καταξέμεν· ἀλλ' Ἀγαμέμνων
ἀντίος ἦλθε θέων, καὶ ὁμοκλήσας ἔπος ηὔδα·
ὦ πέπον ὦ Μενέλαε, τί ἦ δὲ σὺ κήδεαι οὕτως
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ οἶκον
πρὸς Τρώων· τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χεῖράς θ' ἡμετέρας, μηδ' ὅν τινα γαστέρι μήτηρ
κοῦρον ἐόντα φέροι, μηδ' ὃς φύγοι, ἀλλ' ἅμα πάντες
Ἰλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι.
ὣς εἰπὼν ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως,
αἴσιμα παρειπών· ὃ δ' ἀπὸ ἕθεν ὤσατο χειρὶ
ἥρω' Ἄδρηστον· τὸν δὲ κρείων Ἀγαμέμνων
οὖτα κατὰ λαπάρην· ὃ δ' ἀνετράπετ', Ἀτρείδης δὲ
λὰξ ἐν στήθεσι βὰς ἐξέσπασε μείλινον ἔγχος.
Νέστωρ δ' Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀύσας·
ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθε
μιμνέτω, ὥς κε πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.

---

V. L. 54 ἀντίον Vrat. a. b. ἀντίος H post ras. ηῦδα G. — 55 τί ἡ A Io. Alexandr. 42, 22. τιὴ EO. ceteri τίη. οὕτως ACDGHLMNOS Barocc. Mor. Cant. Townl. Vrat. a. b. c. A. Mosc. 1. 2. 3. Cram. Epim. 190, 12. αὔτως E Io. Alex. 42, 22. — 56 ἦ: ἤ GH. σοὶ: σοι ACGHMO. τοι E. πεποίηνται Townl. — 57 τρώων CGL. ὑπεκφύγη S. ἐκφύγοι H. ὑπ' ἔκφυγε Vrat. a. — 58 μὴ δ' ACGLMNO. — 59 φέρει N. μὴ δ' ACDGHLMN. φύγῃ Vrat. a. — 61 ὡς A. ἔτρεψεν: παρέπεισεν AHNO Vrat. a. Cram. An. Par. III, 385, 12. γρ. ἔτρεψεν AO. conf. H 120, N 788. — 62 αἴσιμα: αἴσια Bekk. An. 831 16. ὅδ' CGHLMNO. ἀπὸ: ἀπαὶ S Cant. Vrat. A. τινὲς μεταγράφουσιν ἀπαὶ ἕθεν Eust. 625, 12. — 64 οὗτα DG Et. Mg. 637, 48. κατὰ: καταὶ Schol. E 256. ὅδ' CGLMN. — 65 ἀπέσπασε Vrat. b. — 66 δ' omitt. Draco de Metr. 16, 8. — 68 μετόπισθε ACDEGM. — 69 ὥς κε Lips. Mosc. 1. ὥς κεν ACGHLMNOS Pseudoplut. 157, 30. ὡς καὶ D. ὡς ἂν EO sup. — 71 νεκρούς ῥ' S. ἀμπεδίον ACDEGHLMNO Pseudoplut. 157, 30. Schol. O 349. ἂν πεδίον Eust. 1019, 3. συλήσεται H. τεθνειῶτας CD(ώ)EGMN Pseudoplut. 157, 30. τεθνηιῶτας A. τεθν$\overset{η}{ει}$ῶτας O. — 72 ὡς A. ὄτρυνε Lips. 1. man. Vrat. a.

---

A. C. 54 ἀντίος: οὕτως ἀρίσταρχος διὰ τοῦ $\overline{σ}$, ἄλλοι (Zenodotus teste Schol. B) δὲ διὰ τοῦ $\overline{ν}$ Didymus, conf. H. T. 193. — 59 τινὲς δὲ γράφουσι φέρει Schol. A. — 69 κε πλεῖστα, conf. H. U. 15. — 71 οὕτως ἀρίσταρχος τεθνηῶτας Didymus. Zenodotus Τρώων ἀμπεδίον συλήσομεν ἔντεα νεκρῶν.

ἔνθά κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ᾽ Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες,
εἰ μὴ ἄρ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι εἶπε παραστὰς
Πριαμίδης Ἕλενος, οἰωνοπόλων ὄχ᾽ ἄριστος·
Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ᾽ ἄριστοι
πᾶσαν ἐπ᾽ ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ᾽ αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντῃ ἐποιχόμενοι, πρὶν αὖτ᾽ ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δηίοισι δὲ χάρμα γενέσθαι.
αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ᾽ αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει.
Ἕκτορ, ἀτὰρ σὺ πόλιν δὲ μετέρχεο, εἰπὲ δ᾽ ἔπειτα
μητέρι σῇ καὶ ἐμῇ· ἣ δὲ ξυνάγουσα γεραιὰς
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ,
οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο,
πέπλον, ὅς οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
εἶναι ἐνὶ μεγάρῳ καί οἱ πολὺ φίλτατος αὐτῇ,
θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο,

---

V. l. 73 ἔνθά κεν ACDHMN. αὖτε: αὖ G. τρῷες GL. ἀρηϊφίλων A. — 74 εἰς ἀνέβησαν A. ἀναλκίῃσι AO. — 75 ἆρ DMNO. ἀρ A. αἰνεία τὲ N. — 76 οἰωνοπόλων A. — 77 αἰνεία τὲ A. ὕμμι AGHMN. — 78 τρῴων GL. — 79 ἐπιθύν ἐστὲ D. ἰθὺν ἐστὲ ACGHLMNO. — 80 προ A. — 81 πάντῃ ADE Bekk. An. 832, 11: ceteri πάντη. — 82 δῄοισϊ H. δηίοισι τε D. — 83 ἐπωτρύνητον O. — 86 πόλιν δὲ AD. μετέρχεο: μετοίχεο E Vrat. a. — 87 δὲ: δὴ Mor. Barocc. συνάγουσα G Mor. Barocc. — 89 κληῒδι DGMN. — 90 ὅς οἱ ACDEGHLMNOS: recentiores ex coni. ὅ οἱ. — 91 ἐνῒμμεγάρῳ H. μεγάροισι E. καὶ ὃς et γρ. καί οἱ L. πολυφίλτατος D. — 92 ἀθηναίοις L.

---

A. c. 76 οἰωνοπόλων ὄχ᾽ ἄριστος: Ἀμμώνιος ὡς Ἀριστάρχειον (Cod. Ἀρίσταρχος) προφέρεται καὶ ταύτην τὴν γραφὴν „μάντίς τ᾽ οἰωνοπόλος τε“. ἔργον δὲ τὸ σαφὲς εἰπεῖν· διὸ διχῶς Didymus, conf. H. T. 103. — 87 τινὲς „γεραιράς“ ἀναγινώσκουσιν, ἵνα δηλοῖ τὰς ἱερείας Schol. BLV. — 87, 88 εἰς τὸ γλαυκώπιδος στικτέον, καὶ λείπει ἡ εἰς......ἢ περισσοὶ οἱ δύο στίχοι Schol. BL. — 90 ὅς οἱ: τὴν ὅς ὀξυτονητέον διὰ τὴν οἱ ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐστιν Herodianus, qui igitur ὅς οἱ, non ὅ οἱ, legit. recentiores fere omnes ὅ οἱ scribunt, quod omni librorum auctoritate caret. qua coniectura non opus esse docent alii loci, quibus digammum pronominis tertiae personae neglectum est, conf. οὐδέ τίς οἱ Z 101; πέπλου ὅν οἱ E 338; ἀπείλησαν γάρ οἱ B 665; μέγηρε γάρ οἱ Ψ 865; porro Z 289, λ 44', ν 430, ο 105.

καί οἱ ὑποϲχέϲθαι δυοκαίδεκα βοῦϲ ἐνὶ νηῷ
ἤνιϲ ἠκέϲταϲ ἱερευϲέμεν, αἴ κ' ἐλεήϲῃ
ἄϲτύ τε καὶ Τρώων ἀλόχουϲ καὶ νήπια τέκνα,
αἴ κεν Τυδέοϲ υἱὸν ἀπόϲχῃ Ἰλίου ἱρῆϲ,
ἄγριον αἰχμητήν, κρατερὸν μήϲτωρα φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιϲτον Ἀχαιῶν φημι γενέϲθαι.
οὐδ' Ἀχιλῆά ποθ' ὧδέ γ' ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν,
ὅν πέρ φαϲι θεᾶϲ ἐξέμμεναι· ἀλλ' ὅδε λίην
μαίνεται, οὐδέ τίϲ οἱ δύναται μένοϲ ἰϲοφαρίζειν.
ὣϲ ἔφαθ', Ἕκτωρ δ' οὔ τι καϲιγνήτῳ ἀπίθηϲεν.
αὐτίκα δ' ἐξ ὀχέων ϲὺν τεύχεϲιν ἆλτο χαμᾶζε,
πάλλων δ' ὀξέα δοῦρα κατὰ ϲτρατὸν ᾤχετο πάντῃ
ὀτρύνων μαχέϲαϲθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἱ δ' ἐλελίχθηϲαν καὶ ἐναντίοι ἔϲταν Ἀχαιῶν·
Ἀργεῖοι δ' ὑπεχώρηϲαν, λῆξαν δὲ φόνοιο,
φὰν δέ τιν' ἀθανάτων ἐξ οὐρανοῦ ἀϲτερόεντοϲ
Τρωϲὶν ἀλεξήϲοντα κατελθέμεν· ὣϲ ἐλέλιχθεν.
Ἕκτωρ δὲ Τρώεϲϲιν ἐκέκλετο μακρὸν ἀύϲαϲ·
Τρῶεϲ ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
ἀνέρεϲ ἔϲτε, φίλοι, μνήϲαϲθε δὲ θούριδοϲ ἀλκῆϲ,

V. L. 93 δυοκαίδεκα AGL. γρ. δύο καὶ δέκα ὡϲ ὁ μέγαϲ θεϲϲαλωνίκηϲ εὐϲτάθιοϲ ἰϲχυρίζεται O. — 94 ἤνῑϲ AN. ἦνιϲ GLO Cram. Epim. 283, 6. ἀκέϲταϲ G. ἐλεήϲει D. 2. man. — 95 ἄϲτύ τε A. ἄϲτυ τὲ HMN. τρῴων CG. — 96 ὥϲ κεν Lips. ἀπόϲχοι Vrat. a. — 97 μύϲτωρα L. — 98 κράτιϲτον HM Lips. ἀχαιῶν φημι ACD 1. man. EGHLMNO. — 99 γε δείδημεν H. γε δείδιμεν Vrat. a. γ' omitt. Lips. Vrat. b. — 100 ὅν πέρ φαϲι E: ὅνπερ φαϲὶ ACDGHLMNO. ἐξέμμεναι ACDGHLMNOS: ἐξ ἔμμεναι E. ἒξ ἔμμεναι nullus. — 101 οὐδέ τιϲ οἱ CDGM οὐδέ τι, ϲοί A. — 102 ὡϲ A. ὣϲ φάτο L. — 103 ἄλτο A. ἆλτο S. χαμάζε CDGLMNO. — 104 πάντη AEH Schol. Γ 379: ceteri πάντῃ. — 105 μαχέϲαϲθαι: μαχέεϲθαι E. — 106 οἳ δ' D. οἵδ' CGLMNO. ἐναντίον H, conf. Ε 497, Λ 214, Ρ 343. — 107 ὑποχώρηϲαν S. — 109 τρῳϲὶν GL. ἀλεξήϲαντα Townl. μετελθέμεν L. ὣϲ ELO: ὡϲ ACDGHMN Lips. Et. Mg. 328, 47. — 110 τρῴεϲϲιν GL. — 111 τρῷεϲ GL. τηλεκλητοί GNO Lips. Vrat. c. Mosc. 1. 3. τηλεκλητοί (ει) S. τρῶεϲ καὶ λύκϊοι καὶ δάρδανοι ἀγχιμαχηταί H. — 112 ἔϲτε AGMO Et. Mg. 381, 58: ἐϲτὲ DHLN Eust. 556, 46. μνήϲαϲθαι H. μνήϲεϲθε Vrat. a.

A. c. 96 αἴ κεν: ἀρίϲταρχοϲ ὥϲκεν τυδέοϲ Didymus. — 97 τινὲϲ οὕτωϲ διεῖλον ἄγριον, εἶτα αἰχμητὴν κρατερόν, εἶτα μήϲτωρα φόβοιο. Ἀπολλόδωροϲ δὲ διχῶϲ ἄγριον αἰχμητήν, εἶτα κρατερὸν μήϲτωρα φόβοιο Nicanor. — 109 ἤτοι ϲτικτέον ἐπὶ τὸ κατελθέμεν, ἵνα ἀφ' ἑτέραϲ ἀρχῆϲ λέγηται τὸ ὣϲ ἐλέλιχθεν ἀντὶ τοῦ οὕτωϲ ἐλέλιχθεν, ἢ ϲυναπτέον, ἵν' ᾖ τὸ ὡϲ ἀντὶ τοῦ ὅτε. βέλτιον δὲ τὸ πρότερον Nicanor. — 112 Zenodotus ἀνέρεϲ ἔϲτε θοοί, καὶ ἀμύνετον ἄϲτεϊ λώβην.

ὄφρ᾽ ἂν ἐγὼ βείω προτὶ Ἴλιον ἠδὲ γέρουϲιν
εἴπω βουλευτῆϲι καὶ ἡμετέρηϲ ἀλόχοιϲι
δαίμοϲιν ἀρήϲαϲθαι, ὑποϲχέϲθαι δ᾽ ἑκατόμβαϲ.
ὣϲ ἄρα φωνήϲαϲ ἀπέβη κορυθαίολοϲ Ἕκτωρ·
ἀμφὶ δέ μιν ϲφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινόν,
ἄντυξ, ἣ πυμάτη θέεν ἀϲπίδοϲ ὀμφαλοέϲϲηϲ.
Γλαῦκοϲ δ᾽, Ἱππολόχοιο πάιϲ, καὶ Τυδέοϲ υἱὸϲ
ἐϲ μέϲον ἀμφοτέρων ϲυνίτην μεμαῶτε μάχεϲθαι.
οἳ δ᾽ ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ᾽ ἀλλήλοιϲιν ἰόντεϲ,
τὸν πρότεροϲ προϲέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
τίϲ δὲ ϲύ ἐϲϲι φέριϲτε καταθνητῶν ἀνθρώπων;
οὐ μὲν γάρ ποτ᾽ ὄπωπα μάχῃ ἔνι κυδιανείρῃ
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκαϲ ἁπάντων
ϲῷ θάρϲει, ὅ τ᾽ ἐμὸν δολιχόϲκιον ἔγχοϲ ἔμειναϲ.
δυϲτήνων δέ τε παῖδεϲ ἐμῷ μένει ἀντιόωϲιν.
εἰ δέ τιϲ ἀθανάτων γε κατ᾽ οὐρανοῦ εἰλήλουθαϲ,
οὐκ ἂν ἐγώ γε θεοῖϲιν ἐπουρανίοιϲι μαχοίμην.
οὐδὲ γὰρ οὐδὲ Δρύαντοϲ υἱόϲ, κρατερὸϲ Λυκόοργοϲ,
δὴν ἦν, ὅϲ ῥα θεοῖϲιν ἐπουρανίοιϲιν ἔριζεν·

V. l. 113 βείω: βέω Zonar. Lex. 385, 388. βίω Et. Gud. 109, 26. προτὶ ADGHNO Schol. O 194, X 421. Cram. Epim. 402, 11. Et. Mg. 198, 7. πρὸ τὶ CM: ποτὶ LS Zonar. Lex. 385, 388. Cram. Epim. 202, 22. — 114 ἀλόχοιϲι ACDHNO. — 115 ὑποϲχέϲθαι θ᾽ E. — 116 ὥϲ A. κορυθαίολοϲ A. κορυθαιόλοϲ D 1. man. — 120 ἀμφοτέρων: ἀμφοτέρω A, conf. Ψ 814. μεμαῶτεϲ G. — 121 οἵ δ᾽ DLMNO. οἵδ᾽ CH. — 123 ϲὺ ἐϲϲὶ DHLMN. κατὰ θνητῶν ACDE bis HLMNO Lips. Vrat. a. b. c. A. Mosc. 1. 3. καταθνήτων Schol. K 204. — 124 ἕνι ADG Apoll. de Synt. 306, 28. Schol. Ψ 718. Et. Mg. 123, 43: ἐνὶ CELMNO Schol. B 839. ἐνι H Et. Gud. 67, 12. — 125 τοπρὶν N. τοπρὶν G. νῦν μέν Vrat. b. γε omitt. GL. πολλὸν L. — 126 ὅ τ᾽ A: ceteri ὅτ᾽. ὅτε μὲν δολιχόϲκιον Vrat. a. δολιχόϲκιον A. — 128 ἀθανάτων δε (γε) H. οὐρανοῦ: οὐρανὸν G. — 130 Δρύαντοϲ παῖϲ Pseudoplut. 113, 7. λυκόοργοϲ A. λυκοῦργοϲ L. λυκόεργοϲ N Vrat. b. Rhet. Gr. III, 107, 6; 200, 29. — 131 ὃϲ ῥὰ DLN.

A. c. 113 διχῶϲ ἀρίϲταρχοϲ καὶ διὰ τοῦ κε ὄφρα κ᾽ ἐγὼ καὶ διὰ τοῦ ἄν Didymus. — 119 ἡ διπλῆ, ὅτι μετατιθέαϲί τινεϲ ἀλλαχόϲε ταύτην τὴν ϲύϲταϲιν Aristonicus. — 121 Ζηνόδοτοϲ καὶ Ἀριϲτοφάνηϲ δυϊκῶϲ ἰόντε. ἐν δὲ τοῖϲ ἔμπροϲθεν (cf. Schol. Ε 630) εἰρήκαμεν Ἀριϲτάρχου εἶναι τὴν δυϊκὴν γραφήν Didymus. — 124 ἕνι Herodianus ad Ψ 718. — 128 κατ᾽ οὐρανὸν Aristarchus.

ὅϲ ποτε μαινομένοιο Διωνύϲοιο τιθήναϲ
ϲεῦε κατ' ἠγάθεον Νυϲήιον· αἳ δ' ἅμα πᾶϲαι
θύϲθλα χαμαὶ κατέχευαν ὑπ' ἀνδροφόνοιο Λυκούργου
θεινόμεναι βουπλῆγι· Διώνυϲοϲ δὲ φοβηθεὶϲ
δύϲεθ' ἁλὸϲ κατὰ κῦμα, Θέτιϲ δ' ὑπεδέξατο κόλπῳ
δειδιότα· κρατερὸϲ γὰρ ἔχε τρόμοϲ ἀνδρὸϲ ὁμοκλῇ.
τῷ μὲν ἔπειτ' ὀδύϲαντο θεοὶ ῥεῖα ζώοντεϲ,
καί μιν τυφλὸν ἔθηκε Κρόνου πάιϲ· οὐδ' ἄρ' ἔτι δὴν
ἦν, ἐπεὶ ἀθανάτοιϲιν ἀπήχθετο πᾶϲι θεοῖϲιν.
οὐδ' ἂν ἐγὼ μακάρεϲϲι θεοῖϲ ἐθέλοιμι μάχεϲθαι.
εἰ δέ τίϲ ἐϲϲι βροτῶν, οἳ ἀρούρηϲ καρπὸν ἔδουϲιν,
ἆϲϲον ἴθ', ὥϲ κεν θᾶϲϲον ὀλέθρου πείραθ' ἵκηαι.
τὸν δ' αὖθ' Ἱππολόχοιο προϲηύδα φαίδιμοϲ υἱόϲ·
Τυδείδη μεγάθυμε, τί ἦ γενεὴν ἐρεείνειϲ;
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ' ἄνεμοϲ χαμάδιϲ χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωϲα φύει, ἔαροϲ δ' ἐπιγίγνεται ὥρη·

---

V. L. 132 ὃϲ τότε Rhet. Gr. III, 234, 10. διωνύϲοιο ACGHO Lips. Et. Mg. 280, 8. Strabo XV, 687. Schol. Pind. Pyth. IV, 138. Rhet. Gr. III, 234, 10. διονύϲοιο N Schol. Apoll. Rhod. III, 118. διονύϲϲοιο LM. Διωνύϲϲοιο E 629, 33. διονύϲιο D. — 133 κατηγάθεον A. νυϲήϊον ACDHMNO Barocc. Vrat. b. Lips. Strabo XV, 687. Rhet. Gr. III, 234, 11. Apoll. Lex 82, 11. Et. Mg. 5, 52: νυϲϲήιον E bis Cram. Ep. 64, 17. νηϲήϊον G. νιϲήιον L. αἳ δ' Heraclid. Alleg. C. 35. αἵδ' CDGMNO. — 134 κατέχευον G Barocc. Heraclid. Alleg. C. 35. — 135 διόνυϲοϲ DE. διόνυϲοϲ (ϲ supra) N. διώνυϲϲοϲ HLM. — 136 κατα A. κατὰ omitt. D. — 137 δὲ ἔχε Cant. — 138 ὀδύϲϲαντο N. — 139 * πάιϲ: libri παῖϲ. ἆρ GLMNO. ἀρ A. — 140 θεοῖϲι D. — 141 οὐ γὰρ ἐγὼ H. — 142 δέ τιϲ ἐϲϲὶ ACDEGHLMNO. οὗ H et supra οἳ. — 143 ἆϲϲον CEGHMNO: ἄϲϲον DL. άϲϲον A. ὥϲ κε EO. — 144 τῶ δ' N. αὖ H. προϲηῦδα D. — 145 τί ἦ D. τί ἠ A: ceteri τίη. γενετὴν Plutarchus Consol. ad Apoll. 6. ἐρεείνηϲ A. — 146 τοίη δὲ ADM Steph. Byz. 370, 5. τοίηδε E bis G Schol. Apoll. Rhod. I, 5. τοίη, omisso δὲ, LO: τοιήδε CHN Eust. 812, 50. Strabo XIV, 651. Plutarchus Consol. ad Apoll. 6. Diog. Laert. IX, 11, 6. Stob. Floril. 98, 29. Schol. Aristoph. Av. 686. Rhet. Gr. III, 201, 24; 240, 15. Et. Mg. 225, 32; 761, 20; 802, 15. — 148 ἔαρόϲ τ' L. ἔαροϲ ὅτε [illegible] γίνεται G. ἐπιγίγνεται L: ἐπιγίνεται ADE bis MNOS Lips. Euseb. Praep. Ev. XV, 4, 13. ἐπιγείνεται CH. ἐπεγείνατο Vrat. a. ὥρη: ὥρῃ AE bis HS.

---

A. c. 135 φοβηθεὶϲ: ὅτι Ζηνόδοτοϲ γρ. χολωθεὶϲ Aristonicus. — 143 ἆϲϲον: ἄϲϲον Herodianus, conf. Et. Mg. 158, 13. Cram. Epim. 42, 28. H. T. 206. — 146 τοίη δὲ Aristarchus et Herodianus, non τοιῆδε. — 148 Ἀριϲτοφάνηϲ γράφει τηλεθόωντα, καὶ ἐπὶ τῶν φύλλων ἀκούει, καὶ τὸ ὥρῃ μετὰ τοῦ ῑ γράφει κατὰ δοτικήν Didymus.

ὣϲ ἀνδρῶν γενεὴ ἣ μὲν φύει, ἣ δ' ἀπολήγει.
εἰ δ' ἐθέλειϲ, καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇϲ
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρεϲ ἴϲαϲιν·
ἔϲτι πόλιϲ Ἐφύρη μυχῷ Ἄργεοϲ ἱπποβότοιο,
ἔνθα δὲ Ϲίϲυφοϲ ἔϲκεν, ὃ κέρδιϲτοϲ γένετ' ἀνδρῶν,
Ϲίϲυφοϲ Αἰολίδηϲ· ὃ δ' ἄρα Γλαῦκον τέκεθ' υἱόν,
αὐτὰρ Γλαῦκοϲ ἔτικτεν ἀμύμονα Βελλεροφόντην·
τῷ δὲ θεοὶ κάλλόϲ τε καὶ ἠνορέην ἐρατεινὴν
ὤπαϲαν. αὐτάρ οἱ Προῖτοϲ κακὰ μήϲατο θυμῷ,
ὅϲ ῥ' ἐκ δήμου ἔλαϲϲεν, ἐπεὶ πολὺ φέρτεροϲ ἦεν,
Ἀργείων· Ζεὺϲ γάρ οἱ ὑπὸ ϲκήπτρῳ ἐδάμαϲϲε.
τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο, δῖ' Ἄντεια,
κρυπταδίῃ φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
πεῖθ' ἀγαθὰ φρονέοντα, δαΐφρονα Βελλεροφόντην.
ἣ δὲ ψευϲαμένη Προῖτον βαϲιλῆα προϲηύδα·
τεθναίηϲ ὦ Προῖτ', ἢ κάκτανε Βελλεροφόντην,
ὅϲ μ' ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούϲῃ.
ὣϲ φάτο, τὸν δὲ ἄνακτα χόλοϲ λάβεν, οἷον ἄκουϲε·

---

V. l. 149 ἣ μὲν C. ἡ μὲν ADGHLMNO Apoll. Lex. 54, 7. Euseb. Praep. Ev. XV, 4, 13: ἠμὲν ES Cant. Lips. Et. Mg. 803, 29. ἣ δ' MNO. ἡ δ' ADGH Apoll. Lex. 54, 7. Euseb. Praep. Ev. XV, 4, 13: ἠδ' CELS Cant. Lips. Et. Mg. 803, 29. — 150 δὲ θέλειϲ N. ἐθέλειϲ, καὶ A. — 153 ἐνθάδε CGLMNO Schol. K 44. ἔνθα καὶ S. ὃ: ὃϲ LMNO Apoll. Lex. 98, 2. — 154 ὃ δ' DLMNO. ὅδ' CG. τέκεν M Harl. Mosc. 3. — 155 αὐτὰρ ὃ D. ἔτικτεν libri omnes. βελλερεφόντην LS. — 156 τῷδε G. κάλλόϲ τε A. — 157 κακ' ἐμήϲατο A(κὰκ')CDEGHLMNOS et Heynii libri. — 158 ἔλαϲεν G 1. man. L. φέρτεροϲ[ατοϲ] A. — 159 γάρ οἱ ACDGHMN 2. man. S: γάρ μιν ALN 1. man. O Vrat. a. Mosc. 1. γρ. ζεὺϲ γάρ οἱ A. γρ. γάρ οἱ O. γρ. μιν C man. rec. ὕπο D. ἐδάμαϲϲε AC. ἐδάμαϲεν E. τε δάμαϲϲε Vrat. a. — 160 ἐπεμήνατο CH Eust. 1809, 8. δῖα GL. διάντεια H. — 161 μιγῆναι G. τὸν οὔτοι Plutarchus de Aud. poët. 11. — 162 βελλερεφόντην LS. — 163 ἣ δὲ C. προϲηῦδα D. — 164 βελλερεφόντην LS. — 165 μ'[οι] A: ἔθελε DEGO Lips. ἔθελ' ἐν MNS Vrat. A, conf. Cram. An. Ox. IV, 316, 23. — 166 τὸν δέ: τὸν δ' D. τόνδ' G. ἄκουϲε ACEGHLO. —

---

A. c. 149 ἣ μὲν — ἣ δ': Alexio ἠμὲν — ἠδ'. — 150 ὑποϲτικτέον εἰϲ τὸ ἐθέλειϲ, ἵνα ᾖ τὸ δαήμεναι ἀντὶ προϲτακτικοῦ τοῦ δάηθι Nicanor, conf. ad Φ 487. εἰδῇϲ Ἀρίϲταρχοϲ περιϲπᾷ Herodianus. — 155 ἔτικτεν: ἰακῶϲ τὸ τίκτεν ἀρίϲταρχοϲ Didymus. Βελλεροφόντην: καὶ ὁ Βελλεροφόντηϲ δέ, φαϲιν, Ἑλλεροφόντηϲ ἐν τοῖϲ Ζηνοδότου εὕρηται Eust. 289, 39. — 157 ἀρίϲταρχοϲ ἰακῶϲ κακὰ μήϲατο Didymus. — 160 δῖ' Ἄντεια Herodianus. τινὲϲ δὲ Διάντεια ὁμοῦ ἀναγινώϲκουϲι, κακῶϲ Schol. BL.

κτεῖναι μέν ῥ' ἀλέεινε, cεβάccατο γὰρ τό γε θυμῷ,
πέμπε δέ μιν Λυκίην δέ, πόρεν δ' ὅ γε cήματα λυγρά,
γράψαc ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά,
δεῖξαι δ' ἠνώγει ᾧ πενθερῷ, ὄφρ' ἀπόλοιτο.
αὐτὰρ ὁ βῆ Λυκίην δὲ θεῶν ὑπ' ἀμύμονι πομπῇ.
ἀλλ' ὅτε δὴ Λυκίην ἶξε Ξάνθόν τε ῥέοντα,
προφρονέωc μιν τῖεν ἄναξ Λυκίηc εὐρείηc.
ἐννῆμαρ ξείνιccε καὶ ἐννέα βοῦc ἱέρευcεν.
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλοc ἠώc,
καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε cῆμα ἰδέcθαι,
ὅττί ῥά οἱ γαμβροῖο πάρα Προίτοιο φέροιτο.
αὐτὰρ ἐπεὶ δὴ cῆμα κακὸν παρεδέξατο γαμβροῦ,
πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην ἐκέλευcε
πεφνέμεν. ἣ δ' ἄρ' ἔην θεῖον γένοc οὐδ' ἀνθρώπων,
πρόcθε λέων, ὄπιθεν δὲ δράκων, μέccη δὲ χίμαιρα,
δεινὸν ἀποπνείουcα πυρὸc μένοc αἰθομένοιο.
καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεccι πιθήcαc.
δεύτερον αὖ Cολύμοιcι μαχήcατο κυδαλίμοιcι·
καρτίcτην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν.
τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόναc ἀντιανείραc.
τῷ δ' ἄρ' ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε·

V. L. 167 cεβάcατο GL 1. man. M. τό γε: τόδε L. — 168 λυκίην δὲ A. λυκίην γε L. λυκίηνδ' ἔπορεν H. πόρε G Lips. — 169 πυκτῷ CHMNO Lips. Cant. Vrat. a. c. Mosc. 1. 3. Apoll. Lex. 55, 24. Schol. H ad α 141. Cram. An. Ox. IV, 320, 3; 324, 27. γρ. πτυκτῷ O. πτυκτῇ Bekk. An. 784, 26. τυκτῷ GL. — 170 ἠνώγει CDEGHMNO Et. Mg. 115, 29. Cram. An. Par. III, 347, 13. ἀνώγει L. ἠνώγειν A. — 171 ὁ ACDGHLMNO. λυκίην δὲ AD. θεοῦ E. — 172 ἶξε CL. ἵξε A. ἶξεν D. ἵξεν M. ἧξε G. ξάνθόν τε ACD. — 173 τίεν CGNO. — 174 ἐννῆμαρ μὲν LNO. ξείνιcε EL. — 175 φάνη CLNO. — 176 cήματ' L. — 177 ὅ,ττι G. παρὰ CGHLMNO. παρα D. περὶ S. — 178 libri ἐπειδή. — 179 μὲν ῥὰ GL. ἐκέλευcε ACDEGMO. — 180 ἣ δ' MNO. ἥδ' CGHL. ἆρ LMNO. ἀρ A. — 181 ὄπιθε CDGO 2. man. ὄπιcθεν H Lips. ὄπιcθε O 1. man. δὲ omitt. CG. μέcη G. — 184 μαχέccατο ACDE 635, 50 HLMNS Strabo XII, 573; XIII, 630; XIV, 667. Schol. A 298. μαχέcατο E 635, 29 GO. κυδαλίμοιcι ACDGMNO. κυδαλίμοιc H. — 185 κρατίcτην H Lips. δὴ: δὲ E 635, 29 GL Vrat. a. τήν γε: τήνδε GL Barocc. Vrat. a. ἔμμεναι L et γρ. δύμεναι. — 186 τοτρίτον DNO. τοτρίτον M. — 187 δ' ἆρ DEGMNO. δ' ἀρ A. δ' ἀναερχομένω HL, conf. Δ 392. ἀπερχομένῳ Lips. πυκνὸν H. δόλον A in marg. CD 1. man. EGLMNO. λόχον AD ex corr. H. ὕφαινε ACGHLMNO.

A. c. 170 οὕτωc cὺν τῷ ν ἠνώγειν Ἀρίcταρχοc Didymus. — 171 ὑπ': μετ' Ixion. — 174 ἀρίcταρχοc καὶ ξείνιccε καὶ ξείνιζε Didymus. — 187 ἀνερχομένῳ: οὕτωc ἀρίcταρχοc, ἄλλοι δὲ διὰ τοῦ ε ἐπερχομένῳ Didymus. fallitur Schol. V Ἀρίcταρχοc ἀπερχομένῳ.

κρίναϲ ἐκ Λυκίηϲ εὐρείηϲ φῶταϲ ἀρίϲτουϲ
εἷϲε λόχον· τοὶ δ' οὔ τι πάλιν οἶκον δὲ νέοντο·
πάνταϲ γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντηϲ.
ἀλλ' ὅτε δὴ γίγνωϲκε θεοῦ γόνον ἠὺν ἐόντα,
αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅ γε θυγατέρα ἥν,
δῶκε δέ οἱ τιμῆϲ βαϲιληίδοϲ ἥμιϲυ πάϲηϲ·
καὶ μέν οἱ Λύκιοι τέμενοϲ τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆϲ καὶ ἀρούρηϲ, ὄφρα νέμοιτο.
ἣ δ' ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ,
Ἴϲανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.
Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύϲ,
ἣ δ' ἔτεκ' ἀντίθεον Ϲαρπηδόνα χαλκοκορυϲτήν.
ἀλλ' ὅτε δὴ καὶ κεῖνοϲ ἀπήχθετο πᾶϲι θεοῖϲιν,
ἤ τοι ὃ κὰπ πεδίον τὸ Ἀλήιον οἶοϲ ἀλᾶτο,
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων,
Ἴϲανδρον δέ οἱ υἱὸν Ἄρηϲ ἆτοϲ πολέμοιο
μαρνάμενον Ϲολύμοιϲι κατέκτανε κυδαλίμοιϲι,
τὴν δὲ χολωϲαμένη χρυϲήνιοϲ Ἄρτεμιϲ ἔκτα.
Ἱππόλοχοϲ δ' ἔμ' ἔτικτε, καὶ ἐκ τοῦ φημι γενέϲθαι·
πέμπε δέ μ' ἐϲ Τροίην, καί μοι μάλα πόλλ' ἐπέτελλεν,
αἰὲν ἀριϲτεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων,

---

V. l. 188 ἐείκοϲι φῶταϲ ἀρίϲτουϲ Townl Et. Mg. 538, 41. γρ. καὶ εἴκοϲι φῶταϲ L. — 189 οἶκον δὲ A. οἴκονδε CDHLMO. οἴκονδε E bis GN. — 190 πάνταϲ δὲ L. βελλερεφόντηϲ LS. — 191 γίνωϲκε ACDEGHLMNO Lips. Cant. Mor. Vrat. A. — 192 δίδου γ' ὅγε H. δίδου ὅγε Lips. — 193 βαϲϊλήϊοϲ N. — 194 οἱ, λύκιοι A. — 195 ὄφρα νέμοιτο: πυροφόροιο ALO, conf. M 314. γρ. ὄφρα νέμοιτο A. γρ. ὄφρα νέμηται O. — 196 ἣ δ' H. ἦδ' CGLMNO. βελλεροφοντῑ G. βελλερεφόντῃ LS. — 199 ἦδ' CHLMNO. χαλκοκορυϲτήν A. — 200 καὶ κεῖνοϲ AE: κἀκεῖνοϲ C post. ras. DGHLMNO. θεοῖϲι DO. αὐτὰρ ἐπεὶ καὶ κεῖνοϲ Aristoteles Probl. XXX, 1. — 201 ἤτοι Schol. Pind. Ol. XIII, 130. ὁ CDGLMO. καππεδίον ACDEGHLMNO Aristot. Probl. XXX, 1. Schol. Pind. Ol. XIII, 130. Et. Mg. 62, 24. Rhet. Gr. III, 115, 29. ὅ γ' ἐϲ πεδίον Rhet. Gr. II, 251, 17. — 203 Ἴϲανδρον: Πείϲανδρον Strabo XII, 573; XIII, 631. — 204 κατέκτα Lips. κυδαλίμοιϲι ACDGMNO. — 205 τήνδε H. κ|||||έκτα D. — 206 *δ' ἔμ' ἔτικτε: δέ μ' ἔτικτε ACDEGHLMNOS Athenaeus X, 458. τοῦ φημὶ libri cum Athenaeo. — 207 τροίαν G. ἐπέτελλε D.

---

A. c. 201 τὸ δὲ ἀλήιον οἳ μὲν ἐψίλωϲαν (in his Aristarchus) οἳ δὲ ἐδάϲυναν Schol. A, conf. Et. Mg. 62, 34. — 206 δ' ἔμ' ἔτικτε scripsi contra libros, ut N 452, τ 181. pronomen enim hoc loco premendum est propter notionem discretivam, vel ut verbis veterum grammaticorum utar ὅτι ἀντιδιαϲταλτικῶϲ κεῖται, cf. H. U. 280.

μὴ δὲ γένος πατέρων αἰϲχυνέμεν, οἳ μέγ' ἄριϲτοι
ἔν τ' Ἐφύρῃ ἐγένοντο καὶ ἐν Λυκίῃ εὐρείῃ.
ταύτηϲ τοι γενεῆϲ τε καὶ αἵματοϲ εὔχομαι εἶναι.
ὣϲ φάτο, γήθηϲεν δὲ βοὴν ἀγαθὸϲ Διομήδηϲ.
ἔγχοϲ μὲν κατέπηξεν ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὰρ ὃ μειλιχίοιϲι προϲηύδα ποιμένα λαῶν·
ἦ ῥά νύ μοι ξεῖνοϲ πατρώϊόϲ ἐϲϲι παλαιόϲ·
Οἰνεὺϲ γάρ ποτε δῖοϲ ἀμύμονα Βελλεροφόντην
ξείνιϲ' ἐνὶ μεγάροιϲιν ἐείκοϲιν ἤματ' ἐρύξαϲ·
οἳ δὲ καὶ ἀλλήλοιϲι πόρον ξεινήια καλά·
Οἰνεὺϲ μὲν ζωϲτῆρα δίδου φοίνικι φαεινόν,
Βελλεροφόντηϲ δὲ χρύϲεον δέπαϲ ἀμφικύπελλον,
καί μιν ἐγὼ κατέλειπον ἰὼν ἐν δώμαϲ' ἐμοῖϲι.
Τυδέα δ' οὐ μέμνημαι, ἐπεί μ' ἔτι τυτθὸν ἐόντα
κάλλιφ', ὅτ' ἐν Θήβῃϲιν ἀπώλετο λαὸϲ Ἀχαιῶν.
τῷ νῦν ϲοὶ μὲν ἐγὼ ξεῖνοϲ φίλοϲ Ἄργεϊ μέϲϲῳ
εἰμί, ϲὺ δ' ἐν Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι.
ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου·

---

V. l. 209 μὴ δὲ ACDGHLMNO: μηδὲ E. — 210 ἔντε φύρη L. — 211 ταύτηϲ: τοίηϲ Schol. Plat. Gorg. 449 A. τοι: τῆϲ Plato Soph. 268 D. δὴ G. γενεᾶϲ D. τε καί: καὶ H Cant. Schol. Plat. Gorg. 449 A. Bekk. Anecd. 356, 18. Bachm. Anecd. I, 44, 27. Zonar. Lex. 87 τοι καὶ L. καὶ εὔχομαι αἵματοϲ εἶναι Lips. Mosc. 3. — 212 ὡϲ A. γήθηϲε CG Lips. ῥῖγηϲε (θη superscr.) N, θη man. rec., quae ῥῖ delevit. — 213 πολυβοτείρηι D. — 214 ὃ ACDGHLMNO. προϲηῦδα D. — 215 ῥα HO. ῥὰ DN. πατρώϊοϲ ἐϲϲὶ EGLMNO. — 216 βελλερεφόντην LS. — 217 ξείνιϲ' ἐνὶ EHLNO. ἐνι CD. ξείνιϲ' ἐν GM. ξείνιϲεν ἐν A Mor. γρ. ξείνιϲ' ἐνιμεγάροιϲιν A. ἐνῒμμεγάροιϲιν C. ἥματ' DG. — 218 οἳ δὲ C. — 220 βελλερεφόντηϲ LS. χρύϲειον GLN. — 221 καὶ τόγ' ἐγὼ H. κατέλιπον C post. ras. DMN. δώμαϲιν D. ἐμοῖϲι A Ambr. CDHMNO. — 222 μέμνημ' H. — 223 ΚΑΛΛΙΠ' Ambros. θήβαιϲιν (η superscr.) H. — 224 τῶ ACGHLMNO. τῶι D. ΤΩΙ Ambros. ξέ|||νοϲ ἄργεϊ μέϲϲῳ εἰμί G post ras. deleto man. rec. εἰμί in versu 225 et φίλοϲ super ξένοϲ scripto. φίλοϲ omitt. M. — 225 εἶμι M. δὲ|||λυκίῃ G. τῶν: τὸν N Townl. 1. man. Vrat. a. conf. Ω 481, ο 228, 238, υ 219. — 226 ἔγχεα MNO Harl. Townl. Leid. Mosc. 1. a. man. sec. 3. ἔγχεα (ϲι superscr.) A. ἔγχε||||| (ϲι superscr.) C: ἔγχεϲι DEGHLS Lips.

---

A. c. 213 ἐνὶ χθονὶ Bekk. ex coni. collatis Η 441, Λ 378. adde Κ 374, Λ 574, Ο 317, Υ 279, Φ 69, 168, Χ 276. sed Ψ 876 poëta dixit ἂψ ἐπὶ γαίῃ πρόϲθεν Μηριόναο πάγη ποδόϲ, quem locum Bekkerus non tetigit. ceteris locis ἐπὶ χθονί (γαίῃ) significat „auf die Erde", non „in die Erde", conf. Γ 89, 114, Ζ 473, Θ 73, Μ 158, Π 310, Ρ 58, ω 553. — 222, 223 ἄτοποι οἱ δύο ϲτίχοι Schol. LV. — 226 Aristarchus ἔγχεα δ' ἀλλήλων: Zenodotus ἔγχεϲι δ' ἀλλήλουϲ.

πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ' ἐπίκουροι
κτείνειν, ὅν κε θεός γε πόρῃ καὶ ποςcὶ κιχείω,
πολλοὶ δ' αὖ coὶ Ἀχαιοὶ ἐναιρέμεν, ὅν κε δύνηαι.
τεύχεα δ' ἀλλήλοις ἐπαμείψομεν, ὄφρα καὶ οἵδε
γνῶςιν, ὅτι ξεῖνοι πατρώιοι εὐχόμεθ' εἶναι.
ὣς ἄρα φωνήςαντε, καθ' ἵππων ἀΐξαντε,
χεῖράς τ' ἀλλήλων λαβέτην καὶ πιςτώςαντο.
ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβε
χρύςεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.
Ἕκτωρ δ' ὡς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν,
ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι θέον ἠδὲ θύγατρες
εἰρόμεναι παῖδάς τε καςιγνήτους τε ἔτας τε
καὶ πόςιας· ὁ δ' ἔπειτα θεοῖς εὔχεςθαι ἀνώγει
πάςας ἑξείης· πολλῇςι δὲ κήδε' ἐφῆπτο.
ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον περικαλλέ' ἵκανε,
ξεςτῇς αἰθούςῃςι τετυγμένον, αὐτὰρ ἐν αὐτῷ
πεντήκοντ' ἔνεςαν θάλαμοι ξεςτοῖο λίθοιο,
πληςίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ παῖδες
κοιμῶντο Πριάμοιο παρὰ μνηςτῇς ἀλόχοιςι.

---

V. l. 227 τρῷες L. τρῶες ἐμοὶ Harl. τρῷες ἐμοὶ G. κλητοί O Mor. Barocc. Vrat. a. — 228 κτείνειν, ὅν ACEGL. ὅν γε N. ὅν γ' M. ὅν τε Cant. θεός τε S Cant. πόροι EGLMN Lips. Cant. Harl. πορῃ (οι supraser.) S. — 229 coι HL. ἐναιρέμεν, ὅν DEL. — 230 ἀλλήλοις' G. ἀλλήλοιςι S. ἀλλήλων Schol. Z 234. ἐπαμείψωμεν DH. ἀπαμείψομεν S. οἶδε AD: ceteri οἵδε. — 232 ὡς A. φωνήςαντες et ἀΐξαντες O 1. man. — 233 βαλέτην LO. γρ. λαβέτην O. καὶ ἐπιςτώςαντο E 638, 30 Vrat. a. κἀπιςτώςαντο M. — 234 ἔνθ' αὖ G. ἔνθά τε D. — 235 προς A. ἄμειβε AGHLMNO Lips. — 236 ἐννεαβοίων A. — 237 φηγὸν CDEGHLMN: πύργον AOS Cant. Lips. Mor. suprascr. Harl. Vrat. b. A. Mosc. 1. 2. Apoll. Lex. 170, 13. Hesych. IV, 335. καὶ φηγὸν A suprascr. γρ. φηγὸν S Lips. — 238 τρώων GL. — 239 καςιγνήτους τὲ A. — 240 ὁ δ' DHMNO. ὅδ' CGL. — 241 πάςας libri omnes. — 242 ἵκανε ACGHMNO. — 243 ξεςταῖς L. αἰθούςςῃςϊ H. αἰθούςςηιςε A. — 244 ενέςαν D. ἔςαν C. ἔςςαν NO. γρ. ἔνεςαν O. πεντήκοντα ἔςαν G. — 245 πληςίον DMNOS Barocc. Vrat. a. b. c. A. Mosc. 3. πληςίον (ι supraser.) A: ceteri πληςίοι. ἐνθάδε HNO. ἔνθάδε M. — 246 παρὰ μνηςτῇις' A. μνηςταῖς G. παρ' αἰδοίῃς M Townl. Vrat. b. παρ' αἰδίῃς H. ἐν ἄλλῳ παραιδοίῃς ἀλόχοιςι A. ἀλόχοιςι ACDEGHMNO.

---

A. c. 229 δύνηαι Aristarchus cum ceteris: δυνῇαι Tyrannio, cf. H. T. 228. — 239 Herodianus et Ptolemaeus Ascalonita ἔτας: ἕτας Alexio, conf. Eust. 641, 58. — 241 Aristarchus πάςας ἑξείης: ἔν τιςι γράφεται πᾶςι μάλ' ἑξείης Aristonicus. — 244 ἔνεςαν Aristarchus.

κουράων δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆϲ
δώδεκ' ἔϲαν τέγεοι θάλαμοι ξεϲτοῖο λίθοιο,
πληϲίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ γαμβροὶ
κοιμῶντο Πριάμοιο παρ' αἰδοίῃϲ ἀλόχοιϲιν.
ἔνθά οἱ ἠπιόδωροϲ ἐναντίη ἤλυθε μήτηρ
Λαοδίκην ἐϲάγουϲα, θυγατρῶν εἶδοϲ ἀρίϲτην·
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔποϲ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
    τέκνον, τίπτε λιπὼν πόλεμον θραϲὺν εἰλήλουθαϲ;
ἦ μάλα δὴ τείρουϲι δυϲώνυμοι υἷεϲ Ἀχαιῶν
μαρνάμενοι περὶ ἄϲτυ· ϲὲ δ' ἐνθάδε θυμὸϲ ἀνῆκεν
ἐλθόντ' ἐξ ἄκρηϲ πόλιοϲ Διὶ χεῖραϲ ἀναϲχεῖν.
ἀλλὰ μέν', ὄφρά κέ τοι μελιηδέα οἶνον ἐνείκω,
ὡϲ ϲπείϲῃϲ Διὶ πατρὶ καὶ ἄλλοιϲ ἀθανάτοιϲι
πρῶτον, ἔπειτα δὲ καὐτὸϲ ὀνήϲεαι, αἴ κε πίῃϲθα.
ἀνδρὶ δὲ κεκμηῶτι μένοϲ μέγα οἶνοϲ ἀέξει,
ὡϲ τύνη κέκμηκαϲ ἀμύνων ϲοῖϲιν ἔτῃϲι.
    τὴν δ' ἠμείβετ' ἔπειτα μέγαϲ κορυθαίολοϲ Ἕκτωρ·
μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ,

V. L. 247 ἐναντίον N Vrat. b. — 248 ἔϲϲαν N. — 249 πληϲίον DMO 1. man. S. πληϲίον A. ἐνθάδε HLNO. ἔνθα γε G. ἔνθά γε Vrat. b. — 250 παρ' αἰδοίηιϲ' A. παραιδοίῃϲ D. αἰδοίῃϲ M. αἰδῖηϲ H. αἰδοίαιϲ G. παρὰ μνηϲταῖϲ Mor. ἀλόχοιϲι DHM. ἐν ἄλλῳ παρὰ μνηϲτῆϲ ἀλόχοιϲι A. — 251 ἔνθά οἱ ACDGHLMNO. ἠπιόδωροϲ A. ἐναντίον Mosc. 2. — 252 εἰϲάγουϲα EL. — 253 ἐνδ' M Harl. ἄρά οἱ O Et. Mg. 803, 31. ὀνόμαζε ACDGHLMNO. — 256 περιάϲτυ A. — 257 πόλεωϲ S. πόληοϲ M. — 258 καίτοι DG. — 259 ἀθανάτοιϲι AGHLMNO. — 260 δὲ καὐτὸϲ H Et. Mg. 628, 10. Et. Gud. 422, 24. δε καὐτὸϲ D. δὲ καὶ αὐτὸϲ G Athenaeus II, 35. Schol. Γ 246. Eust. 1077, 54. δὲ αὐτὸϲ Eust. 641, 13; 1765, 31. δὲ κ' αὐτὸϲ Et. Mg. 618, 26. Et. Gud. 429, 52. Eust. 640, 43. δέ καὐτὸϲ AC 2. man. δέ κ' αὐτὸϲ C 1. man. LMNO Schol. Υ 311, γ 255. Eust. 1774, 47. Cram. Epim. 306, 8; 322, 23; 332, 19. An. Par. III, 357, 12. — 261 δὲ omitt. H. κεκμηότι L. οἶνοϲ μένοϲ μέγα ἀέξει O. οἶνοϲ μάλα μένοϲ ἀέξει L. μέγα omitt. M. μέγα ϲθένοϲ οἶνοϲ ἀέξει Boissonad. Anecd. I, 114. — 262 ἔτῃϲι CDM post. ras. O. ἑτηιϲι A. — 263 τὴν δ' ἐπαμείβετ' Vrat. a. κορυθαιόλοϲ D.

A. c. 250 οὕτωϲ ἀρίϲταρχοϲ παραιδοίηιϲ' (sic) Didymus. — 260 δέ κ' αὐτὸϲ Ptolem. Ascalonita cum Aristarcho, conf. Ariston. ad Υ 311, qui hoc loco corrigendus est ὅτι τὸ πλῆρέϲ ἐϲτι κε (cod. καὶ) αὐτόϲ. Ὁμηρικὸν δὲ τὸ τὸν κὲ (cod. καί) περιττὸν εἶναι. Herodianus utramque scripturam novit, δὲ καὐτὸϲ et δέ κ' αὐτόϲ, conf. H. U. 283 sq. — 262 ἔτῃϲι: ἔτηϲι, conf. 239.

μή μ᾽ ἀπογυιώϲῃϲ μένεοϲ, ἀλκῆϲ τε λάθωμαι·
χερϲὶ δ᾽ ἀνίπτοιϲιν Διὶ λείβειν αἴθοπα οἶνον
ἅζομαι· οὐδέ πῃ ἔϲτι κελαινεφέι Κρονίωνι
αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάαϲθαι.
ἀλλὰ ϲὺ μὲν πρὸϲ νηὸν Ἀθηναίηϲ ἀγελείηϲ
ἔρχεο ϲὺν θυέεϲϲιν ἀολλίϲϲαϲα γεραιάϲ·
πέπλον δ᾽, ὅϲ τίϲ τοι χαριέϲτατοϲ ἠδὲ μέγιϲτοϲ
ἔϲτιν ἐνὶ μεγάρῳ καί τοι πολὺ φίλτατοϲ αὐτῇ,
τὸν θὲϲ Ἀθηναίηϲ ἐπὶ γούναϲιν ἠυκόμοιο,
καί οἱ ὑποϲχέϲθαι δυοκαίδεκα βοῦϲ ἐνὶ νηῷ
ἤνιϲ ἠκέϲταϲ ἱερευϲέμεν, αἴ κ᾽ ἐλεήϲῃ
ἄϲτύ τε καὶ Τρώων ἀλόχουϲ καὶ νήπια τέκνα,
αἴ κεν Τυδέοϲ υἱὸν ἀπόϲχῃ Ἰλίου ἱρῆϲ,
ἄγριον αἰχμητήν, κρατερὸν μήϲτωρα φόβοιο.
ἀλλὰ ϲὺ μὲν πρὸϲ νηὸν Ἀθηναίηϲ ἀγελείηϲ
ἔρχευ, ἐγὼ δὲ Πάριν μετελεύϲομαι, ὄφρα καλέϲϲω,
αἴ κ᾽ ἐθέλῃϲ᾽ εἰπόντοϲ ἀκουέμεν. ὥϲ κέ οἱ αὖθι
γαῖα χάνοι· μέγα γάρ μιν Ὀλύμπιοϲ ἔτρεφε πῆμα

V. L. 265 μένεοϲ δ᾽ LO. μένεοϲ τ᾽ G. δ᾽ omittunt ACDEHMNS Cant. Lips. Townl. Vrat. b. Mosc. 1. 2. Apoll. Lex. 40, 2. — 266 ἀνίπτοιϲι CDEGHLMNO. ἀνίπτῃϲι S. — 267 πῃ AEO: ceteri πη. ἔϲτι: ἐϲτὶ CEGLMNO. ἐϲτι D. — 269 ϲὺ μὲν: ϲύγε N. προϲ A. — 270 ϲυν AD. θϋέϲϲιν L. θύεϵϲϲι D (sic). ἀολλίϲϲαϲα ADGL Et. Mg. 116, 50: ἀολλίϲαϲα CEHN. ἀολίϲαϲα MO. ἀολλήϲαϲα S. γερεάϲ G. γρ. καὶ γεραιράϲ A. — 271 πέπλον ACDGMNO. πέπλ$^{ω}$ον H. πέπλων L Barocc. Harl. Lips. suprascr. Vrat. a. Mosc. 2. πέπλοϲ Vrat. b. Mosc. 1. 3. ὅϲ τίϲ ACMNO: ceteri ὅϲτιϲ. — 272 ἐϲτὶν O. ἐνι A. ἐν G Lips. ἐνὶμμεγάρῳ HS. καί ϲοι N. πολυφίλτατοϲ D. — 273 ἐπι A. — 274 δυοκαίδεκα ACGL. ἐνι AD. — 275 ἦνιϲ GLO. ἱερευϲαίμεν D. αἴ κ᾽: εἰ Vrat. a. ἐλεήϲει N Vrat. a. — 276 ἄϲτύ τε A. ἄϲτυ τὲ HLMN. τρῴων GL. — 277 ἀπόϲχοι G Mor. Barocc. — 278 ἄγριον· αἰχμητὴν· κρατερὸν A. ἄγριον· αἰχμητὴν κρατερὸν· μήϲτωρα L. — 280 ἔρχεο D. καλέω G. κελεύϲω Vrat. a. 1. man. — 281 ὥϲ κέ οἱ ACGLMNO Cant. Mor. Mosc. 1. ὡϲ καί οἱ DH Townl. Mosc. 2. ὥϲ κέν οἱ E Lips. — 282 ἔτραφε DEMO.

A. c. 265 δ᾽ post μένεοϲ omittit Aristarchus, conf. Eust. 641, 27, eaque sola est vera ac genuina lectio, quam consensus omnium fere librorum tuetur. accedit auctoritas Platonis, qui in Cratylo 415 A. locum nostrum ita laudat „μή μ᾽ ἀπογυιώϲῃϲ μένεοϲ“, unde apparet, Platonem genetivum μένεοϲ ad ἀπογυιώϲῃϲ retulisse. — 266 οὕτωϲ ἀρίϲταρχοϲ καὶ ἡρωδιανὸϲ διὰ τοῦ η ἀνίπτῃιϲιν Schol. A. ὅτι Ζηνόδοτοϲ γρ. ἀνίπτηϲιν· οὐκ ἔϲτι δὲ ἡ εὐθεῖα ἀνίπτηϲ Aristonicus, conf. H. T. 388. — 268 Aristarchus, Ptolem. Ascalonita, Herodianus εὐχετάᾰϲθαι: alii εὐχεταᾶϲθαι.

Τρωcί τε καὶ Πριάμῳ μεγαλήτορι τοῖό τε παιcίν.
εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ' Ἄϊδος εἴcω,
φαίην κε φρέν' ἀτέρπου ὀϊζύος ἐκλελαθέcθαι.
ὣc ἔφαθ', ἣ δὲ μολοῦcα ποτὶ μέγαρ' ἀμφιπόλοιcι
κέκλετο· ταὶ δ' ἄρ' ἀόλλιccαν κατὰ ἄcτυ γεραιάc.
αὐτὴ δ' ἐc θάλαμον κατεβήcετο κηώεντα,
ἔνθ' ἔcάν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Cιδονίων, τὰc αὐτὸc Ἀλέξανδροc θεοειδὴc
ἤγαγε Cιδονίηθεν, ἐπιπλὼc εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.
τῶν ἕν' ἀειραμένη Ἑκάβη φέρε δῶρον Ἀθήνῃ,
ὃc κάλλιcτοc ἔην ποικίλμαcιν ἠδὲ μέγιcτοc,
ἀcτὴρ δ' ὣc ἀπέλαμπεν· ἔκειτο δὲ νείατοc ἄλλων.
βῆ δ' ἰέναι, πολλαὶ δὲ μετεccεύοντο γεραιαί.
αἳ δ' ὅτε νηὸν ἵκανον Ἀθήνηc ἐν πόλει ἄκρῃ,
τῇcι θύραc ὤϊξε Θεανὼ καλλιπάρῃοc,
Κιccηίc, ἄλοχοc Ἀντήνοροc ἱπποδάμοιο·
τὴν γὰρ Τρῶεc ἔθηκαν Ἀθηναίηc ἱέρειαν.
αἳ δ' ὀλολυγῇ πᾶcαι Ἀθήνῃ χεῖραc ἀνέcχον.
ἣ δ' ἄρα πέπλον ἑλοῦcα Θεανὼ καλλιπάρῃοc
θῆκεν Ἀθηναίηc ἐπὶ γούναcιν ἠυκόμοιο,

---

V. L. 283 τρωcὶ L. τρωcί τὲ N. παιcί D. — 284 γ' εἴδοιμι LMNO Mor. — 285 κε C Lips.: κεν: A Ambr. DEGHLMNOS. ἀτέρ που A. ἐπιλαθέcθαι Vrat. A. — 286 ὡc A. ἡ δὲ C. ἀμφιπόλοιcι A Ambr. CGHMNO. — 287 ταὶ: αἱ E. ἆρ DGMO. ἀρ A. ἀόλλϊcαν CDH. ἀόληcαν N. — 288 κατεβήcατο CDGLMO. καταβήcετο H. κατεβήcετο (α over ε) A. ΗΔ' ΕΙC ΟΙΚΟΝ ΙΟΥCΑ ΠΑΡΙCΤΑΤΟ ΦΩΡΙΑΜΟΙCΙΝ Ambrosianus. eundem habet D in margine manu recentiore scriptum. — 289 ἑcάν AL Schol. B 255. Bekk. An. 1154: vulgo ἔcαν. οἱ, πέπλοι AC. παμποίκιλα M. — 290 τὰc: AC Ambros. ἃc Strabo I, 41. — 293 ἀειρομένη M Harl. — 295 ὡc DH. ἔλαμπεν G. — 296 πολλαί τε H. μετεcεύοντο L. μετεccίλοντο G. — 297 αἳ δ' DMNO. αἵδ' GH. γρ. ἀλλ' ὅτε Lips. ὅτε δὴ D. ἀθηναίηc DG. — 298 τάc γε θύραc G. ΚΑΛΛΙΠΑΡΗΟC Ambros. cum plerisque: καλλιπάρηοc EHO. — 300 γὰρ: καὶ H. τρῷεc GL. — 301 αἳ δ' DMNO. αἵδ' CGHL. χεῖραc ἀνέcχον ἀθήνη N. — 302 ἥδ' CHLMNO.

---

A. c. 285 ἔcτι δὲ καὶ ἄλλη γραφή. „φαίην περ" Schol. LV. φρέν' ἀτέρπου: φίλον ἦτορ Zenodotus. alii φρέν' ἄτερ που, conf. Eust. 642, 16. in his Aristarchum fuisse patet ex scholio Aristonici ὅτι τὸ cημαινόμενον, εἰ ἐκεῖνον ἴδοιμι τετελευτηκότα, δόξαιμι ἂν ἐκλελῆcθαι τῆc κακοπαθείαc καὶ χωρὶc αὐτῆc γεγονέναι. ἔνιοι δὲ ἀγνοήcαντεc γράφουcιν ἀτέρπου, conf. Schol. BL et D. — 288 ἐν ταῖc ἀριcτάρχου φέρεται καὶ ἑτέρωc „ἡ δ' εἰc οἶκον ἰοῦcα παρίcτατο φωριαμοῖcιν" (qui habetur o 104) Didymus. — 289 ἑcάν οἱ Aristarchus, conf. Bekk. An. 1154. H. T. 414.

εὐχομένη δ' ἠρᾶτο Διὸϲ κούρῃ μεγάλοιο·
πότνι' Ἀθηναίη, ἐρυϲίπτολι, δῖα θεάων,
ἆξον δὴ ἔγχοϲ Διομήδεοϲ, ἠδὲ καὶ αὐτὸν
πρηνέα δὸϲ πεϲέειν Ϲκαιῶν προπάροιθε πυλάων,
ὄφρά τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦϲ ἐνὶ νηῷ
ἤνιϲ ἠκέϲταϲ ἱερεύϲομεν, αἴ κ' ἐλεήϲῃϲ
ἄϲτύ τε καὶ Τρώων ἀλόχουϲ καὶ νήπια τέκνα.
ὣϲ ἔφατ' εὐχομένη, ἀνένευε δὲ Παλλὰϲ Ἀθήνη.
ὣϲ αἱ μέν ῥ' εὔχοντο Διὸϲ κούρῃ μεγάλοιο,
Ἕκτωρ δὲ πρὸϲ δώματ' Ἀλεξάνδροιο βεβήκει
καλά, τά ῥ' αὐτὸϲ ἔτευξε ϲὺν ἀνδράϲιν, οἳ τότ' ἄριϲτοι
ἦϲαν ἐνὶ Τροίῃ ἐριβώλακι τέκτονεϲ ἄνδρεϲ,
οἵ οἱ ἐποίηϲαν θάλαμον καὶ δῶμα καὶ αὐλὴν
ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτοροϲ, ἐν πόλει ἄκρῃ.
ἔνθ' Ἕκτωρ εἰϲῆλθε διίφιλοϲ, ἐν δ' ἄρα χειρὶ
ἔγχοϲ ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸϲ
αἰχμὴ χαλκείη, περὶ δὲ χρύϲεοϲ θέε πόρκηϲ.
τὸν δ' εὗρ' ἐν θαλάμῳ περικαλλέα τεύχε' ἕποντα,
ἀϲπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξ' ἁφόωντα·
Ἀργείη δ' Ἑλένη μετ' ἄρα δμῳῇϲι γυναιξὶν
ἦϲτο καὶ ἀμφιπόλοιϲι περικλυτὰ ἔργα κέλευε.

V. ι. 305 ἐρυϲίπτολι A. — 306 ἆξον ADGMN Et. Mg. 15, 23. Schol. C 521. Cram. An. Ox. IV, 369, 32: ἅξον CEHLO Apoll. Lex. 37, 12. Eust. 1287, 10. Cram. Epim. 76, 15. An. Ox. III, 293, 6. — 308 ὄφρά τοι ACDHNO. δυοκαίδεκα AGL. ἐνι A. — 309 ἦνιϲ GLMO. ἀκέϲταϲ G. ἱερευϲέμεν H. ἱερεύϲωμεν LO. — 310 ἄϲτύ τε A. ἄϲτυ τὲ CHMN. τρῴων GL. — 311 ὡϲ A. ἀνένευϲε N. — 312 ὡϲ A. ῥ' omitt. O. — 313 βέβηκε S. — 314 κάλ' ἅτ' ἄρ' Vrat. a. — 315 ἐνι AD. τροίηιϲ D. — 317 ἐγγύθι τε LMNO. — 318 διῒ φίλοϲ ACDGHLMNOS. Pseudoplut. 121, 30. — 319 ἑνδεκάπηχυ A. δ' ἐλάμπετο G. — 321 θαλάμῳ: μεγάροιϲ H. ἕποντα AGHL. ἔχοντα Cram. Epim. 435, 4. — 322 τόξ' ἀφόωντα AD ex corr. GHLMN Lips. Et. Mg. 178, 30. Apoll. Lex. 26, 7. τόξ' ἀφόοντα O. τόξ' ἀφόωντα CE Zonar. Lex. 554. τόξα φόωντα D 1. man. Zonar. Lex. 1821, conf. Et. Mg. 178, 31. — 323 μετά ῥα EN Cant. μετὰ ῥὰ S. μετάρα D. — 324 περικλυτὰ A. ἔργα κέλευε ACDEGHO. ἔργ' ἐκέλευεν LMN. —

A. c. 305 ἐρυϲίπτολι: ἄμεινον ῥυϲίπτολι Schol. ABLV. — 306 ἆξον Herodianus, vid. π. διχρόνων 293, 7. — 308 δυοκαίδεκα: δύο καὶ δέκα Pamphilus, conf. H. T. 228. — 319 ἔχ' ἑνδεκάπηχυ Heracleo, Alexio, Herodianus: alii ἔχεν δεκάπηχυ. ὁ Ἀϲκαλωνίτηϲ οὐδεμίαν προκρίνει Herodianus, conf. Eust. 644, 37. — 322 τὸ δὲ φόωντα τινὲϲ λαμπρύνοντα, παρὰ τὸ φῶϲ· ἢ ἀφόωντα ἀντὶ τοῦ ἐρευνῶντα, ψηλαφῶντα Schol. LV.

τὸν δ᾿ Ἕκτωρ νείκεϲϲεν ἰδὼν αἰϲχροῖϲ ἐπέεϲϲι·
δαιμόνι᾿, οὐ μὲν καλὰ χόλον τόνδ᾿ ἔνθεο θυμῷ.
λαοὶ μὲν φθινύθουϲι περὶ πτόλιν αἰπύ τε τεῖχοϲ
μαρνάμενοι· ϲέο δ᾿ εἵνεκ᾿ ἀυτή τε πτόλεμόϲ τε
ἄϲτυ τόδ᾿ ἀμφιδέδηε· ϲὺ δ᾿ ἂν μαχέϲαιο καὶ ἄλλῳ,
ὅν τινά που μεθιέντα ἴδοιϲ ϲτυγεροῦ πολέμοιο.
ἀλλ᾿ ἄνα, μὴ τάχα ἄϲτυ πυρὸϲ δηίοιο θέρηται.
τὸν δ᾿ αὖτε προϲέειπεν Ἀλέξανδροϲ θεοειδήϲ·
Ἕκτορ, ἐπεί με κατ᾿ αἶϲαν ἐνείκεϲαϲ οὐδ᾿ ὑπὲρ αἶϲαν,
τοὔνεκά τοι ἐρέω· ϲὺ δὲ ϲύνθεο καί μευ ἄκουϲον,
οὔ τοι ἐγὼ Τρώων τόϲϲον χόλῳ οὐδὲ νεμέϲϲι
ἥμην ἐν θαλάμῳ, ἔθελον δ᾿ ἄχεϊ προτραπέϲθαι.
νῦν δέ με παρειποῦϲ᾿ ἄλοχοϲ μαλακοῖϲ ἐπέεϲϲιν
ὥρμηϲ᾿ ἐϲ πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῷ
λώιον ἔϲϲεϲθαι· νίκη δ᾿ ἐπαμείβεται ἄνδραϲ.
ἀλλ᾿ ἄγε νῦν ἐπίμεινον, ἀρήια τεύχεα δύω·
ἢ ἴθ᾿, ἐγὼ δὲ μέτειμι· κιχήϲεϲθαι δέ ϲ᾿ ὀίω.
ὣϲ φάτο, τὸν δ᾿ οὔ τι προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
τὸν δ᾿ Ἑλένη μύθοιϲι προϲηύδα μειλιχίοιϲι·
δᾶερ ἐμεῖο, κυνὸϲ κακομηχάνου, ὀκρυοέϲϲηϲ,
ὥϲ μ᾿ ὄφελ᾿ ἤματι τῷ, ὅτε με πρῶτον τέκε μήτηρ,
οἴχεϲθαι προφέρουϲα κακὴ ἀνέμοιο θύελλα
εἰϲ ὄροϲ ἢ εἰϲ κῦμα πολυφλοίϲβοιο θαλάϲϲηϲ,

---

V. l. 325 τὸν δ᾿: τόν ῥ᾿ N. νείκεϲεν N. ἐπέεϲϲι ACDGHNO. — 327 οἱ λαοὶ S. περι A. πόλιν GS Lips. — 328 πόλεμόϲ τε GLMO. — 329 ἀμφιδέδηε L. ἀμφιδέδ[η]ειε O. ἀμφιδέδηαι D. ϲὺ δ᾿ αὖ M. μαχέϲϲαιο E. — 330 ὅν: εἴ ACDEGHLMNOS. ἴδῃϲ[οι] N. — 331 τάχ᾿ G. δηιοῖο D. — 333 οὐχ Vrat. b. — 335 οὔτι H Lips. τρῴων GL. τόϲον G 1. man. τόϲϲω N. χόλῳ[ου] M et suprascr. τόϲϲον διχῶϲ γρ. οὐδὲ: οὔτε Townl. νεμέϲϲι AO Et. Mg. 600, 32: νεμέϲϲει ACDEGHLNS Lips. Schol. Z 326. νέμεϲει[ιϲ] M. — 336 ἥμην G. — 337 ἐπέεϲϲι D. — 339 ἔϲεϲθαι GN. ἐπαμείβετ᾿ H. — 340 ἀλλά γε N. post ἐπίμεινον 2. man. in L add. ὄφρα. — 341 ἴθι D. — 342 κορυθαιόλοϲ D. — 343 προϲηῦδα D. μειλιχίοιϲι ACDGHMO. μύθοιϲιν ἀμείβετο δῖα γυναικῶν S Cant. ἐν ἄλλῳ προϲηύδα δῖα γυναικῶν A. — 344 ἐμοῖο L. — 345 ὤφελ᾿ NO. ἤματι D. ὅτέ C. με omitt. GHL. — 346 θυέλλη L.

---

A. c. 330 εἴ τινα: ἀρίϲταρχοϲ ὅντινά που Didymus. — 335 διὰ τοῦ ῑ μακροῦ τὸ νεμέϲϲι, ὡϲ Θέτι (C 407) Schol. LV. — 336 ἥμην Herodianus: alii ἧμην.

ἔνθά με κῦμ᾽ ἀπόερϲε πάροϲ τάδε ἔργα γενέϲθαι.
αὐτὰρ ἐπεὶ τάδε γ᾽ ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸϲ ἔπειτ᾽ ὤφελλον ἀμείνονοϲ εἶναι ἄκοιτιϲ,
ὃϲ ᾔδη νέμεϲίν τε καὶ αἴϲχεα πόλλ᾽ ἀνθρώπων.
τούτῳ δ᾽ οὔτ᾽ ἂρ νῦν φρένεϲ ἔμπεδοι οὔτ᾽ ἄρ᾽ ὀπίϲϲω
ἔϲϲονται· τῷ καί μιν ἐπαυρήϲεϲθαι ὀίω.
ἀλλ᾽ ἄγε νῦν εἴϲελθε καὶ ἕζεο τῷδ᾽ ἐπὶ δίφρῳ,
δᾶερ, ἐπεί ϲε μάλιϲτα πόνοϲ φρέναϲ ἀμφιβέβηκεν
εἵνεκ᾽ ἐμεῖο κυνὸϲ καὶ Ἀλεξάνδρου ἕνεκ᾽ ἄτηϲ,
οἷϲιν ἐπὶ Ζεὺϲ θῆκε κακὸν μόρον, ὡϲ καὶ ὀπίϲϲω
ἀνθρώποιϲι πελώμεθ᾽ ἀοίδιμοι ἐϲϲομένοιϲι.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγαϲ κορυθαίολοϲ Ἕκτωρ·
μή με κάθιζ᾽ Ἑλένη, φιλέουϲά περ· οὐδέ με πείϲειϲ.
ἤδη γάρ μοι θυμὸϲ ἐπέϲϲυται ὄφρ᾽ ἐπαμύνω
Τρώεϲϲ᾽, οἳ μέγ᾽ ἐμεῖο ποθὴν ἀπεόντοϲ ἔχουϲιν.
ἀλλὰ ϲύ γ᾽ ὄρνυθι τοῦτον, ἐπειγέϲθω δὲ καὶ αὐτόϲ,
ὥϲ κεν ἔμ᾽ ἔντοϲθεν πόλιοϲ καταμάρψῃ ἐόντα.
καὶ γὰρ ἐγὼν οἶκον δὲ ἐλεύϲομαι, ὄφρα ἴδωμαι
οἰκῆαϲ ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
οὐ γάρ τ᾽ οἶδ᾽, ἢ ἔτι ϲφιν ὑπότροποϲ ἵξομαι αὖτιϲ,

V. l. 348 ἔνθά με ACDHMN Et. Mg. 126, 12. — 349 τάδέ HL. τεκμήραντο C. θεοὶ διετεκμήραντο D. — 350 ὤφειλον L. ὤφελον HM Lips. ὄφελλον O. — 351 δϲ ACDEGMO Mor. Harl. Townl. Vrat. a. ὅϲ ῥ᾽ HN Lips. δϲ ῥ᾽ L. ὅϲ τ᾽ Vrat. b. ἤδηι D. ᾔδῃ GL. — 352 οὔτ᾽ ἂρ bis ADEGLMNO. οὐτὰρ H. ὀπίϲϲωι A. — 353 τῶ ACGHLMNO: τῷ DE. καί μιν ADGHLMO Harl. Vrat. b. Mosc. 1. κέν μιν CEN Lips. γρ. καί μιν A. — 354 ἔπι A. ἐνὶ N. — 355 δάερ HN. ἀμφιβέβηκε O. — 356 ἐμοῖο E bis O. ἄτηϲ: ἀρχῆϲ Vrat. c. Apollon. de Synt. 133, 6. — 357 ἔπι GS. ἐπι CDH. ὥϲ κεν NS Cant. — 358 ἐϲϲομένοιϲι ACDGMNO. — 359 κορυθαίολοϲ A. κορυθαιόλοϲ D. — 362 τρῴεϲϲ᾽ L. τρώεϲιν GM. τρώεϲϲιν Lips. ἐμοῖο EL. ἔχουϲι N. — 364 ἔντοϲθε CDHO Lips. πτόλιοϲ O. πόληοϲ H. — 365 οἰκόνδε ἐλεύϲομαι O. οἶκονδ᾽ ἐλεύϲομαι EM 1. man. N Lips. Vrat. b. οἶκονδ᾽ (ε) ἐλεύϲομαι G. οἶκονδ᾽ἐ, (ϲε) λευϲομαι M ex corr. οἶκονδ᾽ ἐϲελεύϲομαι ACDHL Cant. Harl. Vrat. a. A. Apoll. de Synt. 341, 1. ὄφρ᾽ ἂν ἴδωμαι M. Lips. ὄφρα ἴδωμεν Et. Gud. 421, 25. Ammon. de Diff. s. v. οἰκῆαϲ. ὄφρα ἴδω H. — 367 οὐ γὰρ ἔτ᾽ οἶδ᾽ Mosc. 3. οὐ γὰρ ἔτι οἶδ᾽ D. οὐ γὰρ ἔτ᾽ οἶδα H. * ἢ: εἰ ACDEGHLMNO. αὖθιϲ C Apoll. Lex. 159, 35.

A. c. 354 ἄγε νῦν: οὕτωϲ νῦν αἱ ἀριϲτάρχου Didymus. alii fortasse δή. — 355 ἐπεί ϲε Herodianus: alii ἐπεὶ ϲέ. — 356 ἄτηϲ Aristarchus: Zenodotus ἀρχῆϲ, conf. Schol. Γ 300, Ω 28. — 357 ἐπὶ Heracleo et Alexio: ἔπι Ptolem. Ascalonita. — 365 οἶκον δὲ ἐλεύϲομαι Ahrens. de hiatus Hom. legitimis quibusdam generibus pg. 22. genuinam lectionem putat esse. cui assentior, conf. H. T. 223. — 367 ἔτι ϲφιν Herodianus, non ἔτί ϲφιν.

ἢ ἤδη μ' ὑπὸ χερϲὶ θεοὶ δαμόωϲιν Ἀχαιῶν.
ὣϲ ἄρα φωνήϲαϲ ἀπέβη κορυθαίολοϲ Ἕκτωρ.
αἶψα δ' ἔπειθ' ἵκανε δόμουϲ εὖ ναιετάονταϲ,
οὐδ' εὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροιϲιν,
ἀλλ' ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐυπέπλῳ
πύργῳ ἐφεϲτήκει γοόωϲα τε μυρομένη τε.
Ἕκτωρ δ' ὡϲ οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν,
ἔϲτη ἐπ' οὐδὸν ἰών, μετὰ δὲ δμῳῇϲιν ἔειπεν·
εἰ δ' ἄγε μοι δμῳαὶ νημέρτεα μυθήϲαϲθε·
πῇ ἔβη Ἀνδρωμάχη λευκώλενοϲ ἐκ μεγάροιο;
ἠέ πῃ ἐϲ γαλόων ἢ εἰνατέρων ἐυπέπλων,
ἢ ἐϲ Ἀθηναίηϲ ἐξοίχεται, ἔνθά περ ἄλλαι
Τρῳαὶ ἐυπλόκαμοι δεινὴν θεὸν ἱλάϲκονται;
τὸν δ' αὖτ' ὀτρηρὴ ταμίη πρὸϲ μῦθον ἔειπεν·
Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγαϲ ἀληθέα μυθήϲαϲθαι,
οὔτέ πῃ ἐϲ γαλόων οὔτ' εἰνατέρων ἐυπέπλων
οὔτ' ἐϲ Ἀθηναίηϲ ἐξοίχεται, ἔνθά περ ἄλλαι
Τρῳαὶ ἐυπλόκαμοι δεινὴν θεὸν ἱλάϲκονται,
ἀλλ' ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ' ἄκουϲε

V. l. 368 *ἦ: libri ἢ. μ': δ' O. — 369 ὡϲ A. κορυθαίολοϲ A. κορυθαιόλοϲ C 1. man. D. — 370 εὖ ναιετάονταϲ CDGLMNOS. εὐναιετάονταϲ AH. — 371 μεγάροιϲι DN. — 372 ἀλλ' αὕτη G ex corr. ξὺμπαιδὶ C. ξυμπαιδὶ DH, conf. ι 199 ϲυμπαιϲὶ L, ϲὺμπαιδὶ Hesych. IV, 120. Π 248 ξυμπᾶϲι D Pal., ϲυμπᾶϲι C. ξ 296 ϲυμφόρτον L. ι 332 ϲυμμοχλὸν PS. κ 42 ϲυγχεῖραϲ A. K 19 ϲυμμῆτιν CDHL Townl. Ϲ 213 κεμπωϲ Pal. Φ 145 ἐμφρεϲὶ A. λ 257 ἐμπύλω A. δ 671 ἐμπορθμῷ A. T 251 ἐγχειρί A. ἐϋπέπλῳ CDEGLOS. — 373 ἐφεϲτήκει G Et. Mg. 697, 35: ἐφειϲτήκει ACDEH 1. man. LMNOS Apoll. Lex. 137, 33. ἐφῐϲτήκει H ex corr. — 375 δμωιῇιϲιν A: ceteri δμωῇϲιν. — 376 μυθήϲαϲθαι LMS. — 377 πῆ AEHMO Apoll. de Synt. 21, 25; de Coni. 517, 18; de Adv. 616, 14. Et. Mg. 512, 25; 669, 13. Et. Gud. 464, 48. Schol. O 171, P 643: πῇ CDGLN Cram. Ep. 104, 22; 352, 7; 384, 30. An. Ox. III, 267, 21. Apoll. Lex. 131, 8. Ammon. de Diff. s. v. πῇ. ποῖ Thomas Mag. s. v. ὅποι. — 378 πῃ AEH: ceteri πη. ἐϋπέπλων ACDEGHLS Et. Mg. 302, 16. Eust. 1042, 15: εὐπέπλων MNO. — 379 ἔνθά περ ACHN. — 380 τρωιαὶ AL. εὐπλόκαμοι E bis GLMO. post hunc in A insertus est versus, qui legitur 386. — 381 προϲ AC. ἔειπε N. — 382 ἕκτωρ M. ἐπεί μ' ἄνωγαϲ N. — 383 οὔτέ ACGHMN. οὔτ' ἄρ πη L. πῃ AMN: ceteri πη. ἢ εἰνατέρων S. ἐϋπέπλων ACDGHLS. — 384 ἔνθά περ ACHL. — 385 τρωιαὶ AL. εὐπλόκαμοι GHMO. — 386 πῦργον G. ἄκουϲε ACDGHLMNO.

A. c. 369 de κορυθαιόλοϲ, quod h. l. duo boni libri exhibent, et multis locis etiam Venetus A, conf. H. T. 421. — 373 ἐφειϲτήκει: ἐφεϲτήκει Aristarchus. — 375 δμῳῇϲιν veteres, conf. H. U. pg. 214.

τείρεϲθαι Τρῶαϲ, μέγα δὲ κράτοϲ εἶναι Ἀχαιῶν.
ἣ μὲν δὴ πρὸϲ τεῖχοϲ ἐπειγομένη ἀφικάνει,
μαινομένῃ εἰκυῖα· φέρει δ' ἅμα παῖδα τιθήνη.
ἦ ῥα γυνὴ ταμίη, ὃ δ' ἀπέϲϲυτο δώματοϲ Ἕκτωρ
τὴν αὐτὴν ὁδὸν αὖτιϲ ἐυκτιμέναϲ κατ' ἀγυιάϲ.
εὖτε πύλαϲ ἵκανε διερχόμενοϲ μέγα ἄϲτυ,
Σκαιάϲ, τῇ ἄρ' ἔμελλε διεξίμεναι πεδίον δέ,
ἔνθ' ἄλοχοϲ πολύδωροϲ ἐναντίη ἦλθε θέουϲα
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτοροϲ Ἠετίωνοϲ,
Ἠετίων, ὃϲ ἔναιεν ὑπὸ Πλάκῳ ὑληέϲϲῃ,
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεϲϲ' ἄνδρεϲϲιν ἀνάϲϲων·
τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι χαλκοκορυϲτῇ.
ἥ οἱ ἔπειτ' ἤντηϲ', ἅμα δ' ἀμφίπολοϲ κίεν αὐτῇ
παῖδ' ἐπὶ κόλπῳ ἔχουϲ' ἀταλάφρονα, νήπιον αὔτωϲ,
Ἑκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀϲτέρι καλῷ,
τόν ῥ' Ἕκτωρ καλέεϲκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀϲτυάνακτ'· οἶοϲ γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.
ἤ τοι ὃ μὲν μείδηϲεν ἰδὼν ἐϲ παῖδα ϲιωπῇ·
Ἀνδρομάχη δέ οἱ ἄγχι παρίϲτατο δάκρυ χέουϲα,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔποϲ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
    δαιμόνιε, φθίϲει ϲε τὸ ϲὸν μένοϲ, οὐδ' ἐλεαίρειϲ

---

V. L. 387 τρῷαϲ GL. — 388 ἢ μὲν C. προϲ A. — 390 ἢ ῥὰ CDHLMN. ὃ δ' D. ὅδ' CGHLMN. — 391 αὖθιϲ C. εὐκτιμέναϲ O. καταγυιάϲ D. — 392 εὖτέ τε M. εὖτε δὲ N. — 393 τῇ ἄρ' CGLMN Barocc. Harl. Mosc. 1. τῇ ἂρ DHO. τῆι ἀρ A. τῇδ' ἂρ S Cant. Vrat. A. διεξιέναι MN. διεξϊέμεναι C. διεξέμεναι DH. πεδίον δὲ A: πεδίοιο D. — 394 ἄλοχοϲ πολύεδνοϲ Mor. e glossa. — 396 ὑποπλάκῳ CDEGHMNO Lips. — 397 ὑπο͂πλακίη O (sic). ὑπὸ πλακίη D et ex corr. πλακίω. Κιλίκεϲιν E. κιλίκεϲ' MO. ἄνδραϲιν G. ἄνδραϲϲιν Mor. ἄνδρεϲιν M. — 398 χαλκοκορυϲτῆι A. — 399 κῖεν D. — 400 ἐπὶ: ἐνὶ EGL Barocc. κόλπῳ: κόλπον CHNS Lips. conf. I. H. Voss. ad Hymn. in Cererem 187. αὔτωϲ CHLN Townl. αὐτωϲ A. in D non liquet utrum sit αὔτωϲ an αὔτωϲ. αὔτωϲ EGMO. — 402 ῥ' omitt. DG. τόν ῥ' ἄκτωρ H. καμάνδριον C post ras. H post ras. LM. — 403 οἶοϲ: αὐτὸϲ Schol. Ξ 424. ἐρύατο Vrat. c. ἴλιον ἱρὴν Barocc. — 404 μείδιϲεν N. — 405 δακρυχέουϲα libri. δακρυχέουϲα O. — 406 ἄρά οἱ N. ἄρ οἱ Lips. ὀνόμαζε ACDGHLNQ. — 407 φθείϲει A Cram. Ep. 427, 1.

---

A. c. 390 ἦ: φῆ Passovius, conf. Lehrs. Arist. pg. 105. — 393 τῇ ἄρ' dedi ex libris optimis, quum γάρ quod vulgo scribunt, non nisi hiatus causa positum videatur, vide Annal. Gymn. Austr. 1871, pg. 501. — 402, 403 ἄμφω πρέποντα Schol. BLV.

παῖδά τε νηπίαχον καὶ ἔμ᾽ ἄμμορον, ἣ τάχα χήρη
ϲεῦ ἔϲομαι· τάχα γάρ ϲε κατακτανέουϲιν Ἀχαιοὶ
πάντεϲ ἐφορμηθέντεϲ· ἐμοὶ δέ κε κέρδιον εἴη
ϲεῦ ἀφαμαρτούϲῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ᾽ ἄλλη
ἔϲται θαλπωρή, ἐπεὶ ἂν ϲύ γε πότμον ἐπίϲπῃϲ,
ἀλλ᾽ ἄχε᾽· οὐδέ μοι ἔϲτι πατὴρ καὶ πότνια μήτηρ.
ἤ τοι γὰρ πατέρ᾽ ἁμὸν ἀπέκτανε δῖοϲ Ἀχιλλεύϲ,
ἐκ δὲ πόλιν πέρϲεν Κιλίκων εὖ ναιετόωϲαν,
Θήβην ὑψίπυλον· κατὰ δ᾽ ἔκτανεν Ἠετίωνα,
οὐδέ μιν ἐξενάριξε, ϲεβάϲϲατο γὰρ τό γε θυμῷ,
ἀλλ᾽ ἄρα μιν κατέκηε ϲὺν ἔντεϲι δαιδαλέοιϲιν
ἠδ᾽ ἐπὶ ϲῆμ᾽ ἔχεεν· περὶ δὲ πτελέαϲ ἐφύτευϲαν
νύμφαι ὀρεϲτιάδεϲ, κοῦραι Διὸϲ αἰγιόχοιο.
οἳ δέ μοι ἑπτὰ καϲίγνητοι ἔϲαν ἐν μεγάροιϲιν,
οἳ μὲν πάντεϲ ἰῷ κίον ἤματι Ἄϊδοϲ εἴϲω·
πάνταϲ γὰρ κατέπεφνε ποδάρκηϲ δῖοϲ Ἀχιλλεὺϲ
βουϲὶν ἐπ᾽ εἰλιπόδεϲϲι καὶ ἀργεννῇϲ ὀίεϲϲι.
μητέρα δ᾽, ἣ βαϲίλευεν ὑπὸ Πλάκῳ ὑληέϲϲῃ,
τὴν ἐπεὶ ἂρ δεῦρ᾽ ἤγαγ᾽ ἅμ᾽ ἄλλοιϲι κτεάτεϲϲιν,
ἂψ ὅ γε τὴν ἀπέλυϲε λαβὼν ἀπερείϲι᾽ ἄποινα,
πατρὸϲ δ᾽ ἐν μεγάροιϲι βάλ᾽ Ἄρτεμιϲ ἰοχέαιρα.
Ἕκτορ, ἀτὰρ ϲύ μοί ἐϲϲι πατὴρ καὶ πότνια μήτηρ

---

V. l. 408 ἢ τάχα L. — 410 δὲ κέρδιον MN. — 411 ἁμαρτούϲῃ GL Lips. οὐχ ἔτ᾽ ἄλλη D. — 412 ἐπεὶ ἂν: ἐπειδὰν L. — 413 οὐδέ μοι ἐϲτὶ ACDEGHLMNO Schol. Soph. Ai. 514. — 414 ἀμὸν DGHLM: ἁμὸν AC Apoll. de Pron. 142 B. ἐμὸν O Lips. Cant. πατέρα ᾽μον Vrat. A. ἤτοι μὲν γὰρ ἐμὸν πατέρ᾽ ἔκτανε N. idem fortasse voluit Eustathius cum exhibet ἤτοι μὲν γὰρ πατέρα ἐμὸν ἀπέκτανε. ἀπέκτεινε GM. — 415 πέρϲε GNO. πέρϲαι H. εὖ ναιετάωϲαν ACDGMNS. εὖ ναιετάουϲαν ELO ex corr. Barocc. Mor. Vrat. c. εὐναιετάωϲαν H. — 416 κατα ACDL. δὲ κτάνεν Et. Gud. 678, 41. — 417 ἐξενάριξεν D. ϲεβάϲατο GL. ϲεβάϲϲατό γαρ A. — 418 κατέκῃε C Schol. Soph. Ai. 574. κατέκηεν L. κατέκῃεν D. κατέκαιε S Cant. μῖν κατέθηκε G. ϲυντεύχεϲι D. δαιδαλέοιϲι N. — 419 ἦδ᾽ M. ἐπι A. ἔχευεν DM. ἔχευε O. — 421 οἱ AC post. ras. ἔϲϲαν H. — 422 ἤματι D. — 423 ἀχιλεύϲ C. — 424 ἐπειλιπόδεϲϲι D. ἀργεννῆϲ᾽ O. ἀργενῆϲ CD. ἀργενῇϲ M. ὀῒεϲϲι A Ambr. CDGHNO. — 425 ὑποπλάκῳ ACDEGHNO, conf. 396. — 426 ἤγαγεν CG. ΑΛΛΟΙϹΙΝ Ambros. κτεάτοιϲι D. — 429 αὐτὰρ O. ϲύ μοι ἐϲϲὶ ACDEGHLMNO Schol. Soph. Ai. 514.

---

A. c. 408 ὅτι τινὲϲ γράφουϲι καὶ ἐμὸν μόρον οὐκ εὖ Schol. A, conf. Schol. Ω 773. — 414 ἀμὸν Demetrius: ἁμὸν Apollonius. — 415 ἀρίϲταρχοϲ διὰ τοῦ ō ναιετόωϲαν Didymus. — 422 ἰῷ Aristarchus, non ἴῳ, conf. Eust. 652, 51.

ἠδὲ καcίγνητοc, cὺ δέ μοι θαλερὸc παρακοίτηc.
ἀλλ' ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ,
μὴ παῖδ' ὀρφανικὸν θήῃc χήρην τε γυναῖκα·
λαὸν δὲ cτῆcον παρ' ἐρινεόν, ἔνθα μάλιcτα
ἀμβατόc ἐcτι πόλιc καὶ ἐπίδρομον ἔπλετο τεῖχοc.
τρὶc γὰρ τῇ γ' ἐλθόντεc ἐπειρήcανθ' οἱ ἄριcτοι
ἀμφ' Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα
ἠδ' ἀμφ' Ἀτρείδαc καὶ Τυδέοc ἄλκιμον υἱόν·
ἤ πού τίc cφιν ἔνιcπε θεοπροπίων εὖ εἰδώc,
ἤ νυ καὶ αὐτῶν θυμὸc ἐποτρύνει καὶ ἀνώγει.
τὴν δ' αὖτε προcέειπε μέγαc κορυθαίολοc Ἕκτωρ·
ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει γύναι· ἀλλὰ μάλ' αἰνῶc
αἰδέομαι Τρῶαc καὶ Τρῳάδαc ἑλκεcιπέπλουc,
αἴ κε κακὸc ὣc νόcφιν ἀλυcκάζω πολέμοιο·
οὐδέ με θυμὸc ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐcθλὸc
αἰεὶ καὶ πρώτοιcι μετὰ Τρώεccι μάχεcθαι,
ἀρνύμενοc πατρόc τε μέγα κλέοc ἠδ' ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔccεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιοc ἱρὴ
καὶ Πρίαμοc καὶ λαὸc ἐυμμελίω Πριάμοιο.
ἀλλ' οὔ μοι Τρώων τόccον μέλει ἄλγοc ὀπίccω,

---

V. ι. 430 παρακοίτιc G. παράκοιτιc M. — 431 ἐπι A. — 432 θήῃc AO Townl. Vrat. b. Cram. Epim. 430, 29. θήηc DH. ΘΗΙΗϹ Ambros. θείηc CGLMNS Lips. Schol. Soph. Ai. 449. — 434 ἄμβατόc CS. — 435 τῇ γ': τῇ δ' H Townl. τῄγ' ἐλθόντεc γρ. καὶ διὰ τοῦ δ̄ καὶ διὰ τοῦ γ̄ A in marg. — 438 ἣ L. που ACDGLNO. τίc: τί AM Vrat. c. θεοπροπίαc CG Barocc. Mor. θεοπροπέων D Lips. θεοπρέων L. — 440 κορυθαιόλοc D. — 441 μέλλει O. — 442 τρῷαc GL. τρωϊάδαc ACDE bis GMN. ἑλκεcιπέπλουc A. — 443 ὡc AD. γρ. καὶ κακὸc ᾇ Eust. 654, 46. γρ. κακὸc ἅ, ἤγουν καθὰ κακόc L. — 444 οὐδὲ μὲ A. οὐδ' ἐμὲ Townl. Mosc. 2. ἀνώγει N. — 445 τρῴεccι GL. — 446 ἠδ': καὶ E Lips. — 447 εὖ μὲν ἐγὼ CGL Vrat. b. Mosc. 2. τόδε: τόγε Mosc. 1. κατα AD. — 448 ἔccετ' G. ὅτάν DGNO. — 449 ἐϋμμελίωι A. εὐμελίωι D. ἐϋμελίω GO Townl. ἐϋμμελίου CL. — 450 οὔτι μοι G omisso ἄλγοc. τρῴων GL. ὀπίccωι A. ὀπῖcω D.

---

A. c. 432 οὕτωc ἀρίcταρχοc διὰ τοῦ η̄ θήῃc Didymus, conf. H. T. 406. τὸ δὲ θείηc, ὃ δὴ κοινῶc τῇ εῑ διφθόγγῳ παραλήγεται, πολλὰ τῶν ἀντιγράφων διὰ τοῦ η̄ γράφουcιν ἐν τῇ παραληγούcῃ Eust. 653, 42. — 433—439 ἀθετοῦνται cτίχοι ἑπτά Aristonicus. — 434 οὕτωc ἀρίcταρχοc ἀμβατόc. καλλίcτρατοc διὰ τοῦ η̄ ἀμβάτη Didymus. — 437 Ἀτρείδαc: ὁ Ἰξίων ἐν τῷ πρὸc τοὺc ἠθετημένουc Ἀτρείδα προφέρεται (sc. ὡc Ἀριcτάρχειον) δυϊκῶc Didymus. — 439 αὐτῶν: ἐν ἐνίοιc ἤ νυ καὶ αὐτούc Schol. A.

οὔτ' αὐτῆc Ἑκάβηc οὔτε Πριάμοιο ἄνακτοc,
οὔτε καcιγνήτων, οἵ κεν πολέεc τε καὶ ἐcθλοὶ
ἐν κονίῃcι πέcοιεν ὑπ' ἀνδράcι δυcμενέεccιν,
ὅccον cεῦ, ὅτε κέν τιc Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεccαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούραc.
καί κεν ἐν Ἄργει ἐοῦcα πρὸc ἄλληc ἱcτὸν ὑφαίνοιc,
καί κεν ὕδωρ φορέοιc Μεccηίδοc ἢ Ὑπερείηc
πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείcετ' ἀνάγκη.
καί ποτέ τιc εἴπῃcιν ἰδὼν κατὰ δάκρυ χέουcαν·
Ἕκτοροc ἥδε γυνή, ὃc ἀριcτεύεcκε μάχεcθαι
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο.
ὥc ποτέ τιc ἐρέει· cοὶ δ' αὖ νέον ἔccεται ἄλγοc
χήτει τοιοῦδ' ἀνδρόc, ἀμύνειν δούλιον ἦμαρ.
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
πρίν γέ τι cῆc τε βοῆc coῦ θ' ἑλκηθμοῖο πυθέcθαι.
ὣc εἰπὼν οὗ παιδὸc ὀρέξατο φαίδιμοc Ἕκτωρ.
ἂψ δ' ὁ πάιc πρὸc κόλπον ἐυζώνοιο τιθήνηc
ἐκλίνθη ἰάχων, πατρὸc φίλου ὄψιν ἀτυχθείc,
ταρβήcαc χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,

---

V. L. 451 οὔτ' ἑκάβηc αὐτῆc H. — 452 πολέεc τὲ AM. — 453 ὑπ': ἐπ' Mosc. 1. δυcμενέεccι D. — 454 cεῖ' CHL post ras. MN. cεῖ' (ο supra) A. cεῖ DS. cεῖο GO. — 456 ἄργεϊ G. ἄργεϊ οὖcα C Townl. Vrat. A. Mosc. 1. 2. ϊοῦcα (ε supra) H. ἰοῦcα O et supra ἢ ἐοῦcα. ἄλληc HN. ἄλλαιc G. ὑφαίνῃc L Lips. 1. man. Mosc. 3. ὑφαίνειc D. — 457 φορέειc (οι supra) A. φορέηc LO. μεcηΐδοc G. — 458 ἐπικείcεται EM. — 459 καὶ τότε H. καταδακρυχέουcαν DGHLMNO. δακρυχέουcαν E. — 460 ἧδε A. — 461 τρῴων GL. ἀμφὶ μάχοντο Vrat. c. Mosc. 3. — 463 χήτει ACDEGHLMNOS Apoll. Lex. 166, 28; 167, 33. — 464 τεθνειῶτα CDEGMNS. τεθνειῶτα (ηι supra) A. τεθνειῶτα (η supra) O. κατα CDGL. καλύπτει D. καλύψαι NS Cant. — 465 γέ τι ADLN Mosc. 2. γέ τοι Mosc. 1. γ' ἔτι CGMOS. γέ τι et γ' ἔτι E. coῦ τ' ἑλκυθμοῖο D. ἑλκυθμοῖο GLMN Mor. Barocc. Mosc. 1. 3. ἑλκυθμοῖο (η supra) C. — 466 ὡc A. — 467 εὐζώνοιο EM. — 468 φίλον N Schol. Nicandr. Alex. 193. — 469 τε ἠδὲ GO. τ' ἠδὲ N Townl. ἱππιοχαίτην A.

---

A. c. 454 in caesura semiternaria cεῦ, non cεῖ' scribendum est, ut Τ 273, Φ 398, ο 19, ρ 43. conf. Α 541, Ζ 409, 411, Ι 426, C 77, Τ 62, Υ 349, Χ 432, Ω 371, c 268, Annal. Gymn. Austr. 1871, pg. 500. — 463 causam non intelligo, cur recentiores fere omnes χήτει, quod librorum consensus tuetur, in χητεῖ mutaverint, conf. H. U. 71. — 465 Dionysius Sidonius, Alexio, Heracleo γέ τι: γ' ἔτι Ptol. Ascalonita, ab Herodiano reprehensus.

δεινὸν ἀπ᾽ ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
ἐκ δ᾽ ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ.
αὐτίκ᾽ ἀπὸ κρατὸς κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ,
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν·
αὐτὰρ ὅ γ᾽ ὃν φίλον υἱὸν ἐπεὶ κύσε πῆλέ τε χερσίν,
εἶπεν ἐπευξάμενος Διί τ᾽ ἄλλοισίν τε θεοῖσι·
Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ᾽ ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ᾽ ἀγαθὸν καὶ Ἰλίου ἶφι ἀνάσσειν·
καί ποτέ τις εἴποι πατρός γ᾽ ὅδε πολλὸν ἀμείνων
ἐκ πολέμου ἀνιόντα· φέροι δ᾽ ἔναρα βροτόεντα
κτείνας δήιον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.
ὣς εἰπὼν ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
παῖδ᾽ ἑόν· ἡ δ᾽ ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ
δακρυόεν γελάσασα· πόσις δ᾽ἐλέησε νοήσας,
χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
οὐ γάρ τίς μ᾽ ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει·
μοῖραν δ᾽ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,

---

V. l. 471 δ᾽ ἐγέλασε GHMN. δὲ γέλασσε O. — 474 κῦσε EGHMN. πῆλε τὲ CNO. πάλλε O 1. man. — 475 εἶπε τ᾽ N. ἄλλοισί DGMNO Lips. θεοῖσι ACDGO. — 476 ἄλλοί τε AM. ἄλλοι τὲ N. δὴ omitt. O. — 477 ἀριπρεπέα A. τρῴεσσιν L. — 478 βίην τ᾽ ἀγαθὸν AELO Mor. Harl. Vrat. a. c. βίην ἀγαθόν τε GHMN Lips. Barocc. Mosc. 1. 2. βίην τ᾽ ἀγαθόν τε C. βοὴν ἀγαθόν τε D. ἄλλοι ὧδε βίην ἀγαθόν τε A. — 479 εἴπη L Rhet. Gr. III, 154, 27. εἴποι Schol. N 352. εἴπῃσι (οι superscr.) A. ceteri εἴπῃσι. γ᾽ ὅδε: δ᾽ ὅγε ACDEGHLMNO Schol. Γ 43, N 352. δ᾽ ὅδε πολλὸν ἀρείων Rhet. Gr. III, 154, 27. ἀμείνω Schol. N 352 — 480 πολέμου δ᾽ H. φέρει H. — 482 ὡς A. ἔθηκε ACEGMO. — 483 ἥδ᾽ CGHLMNO. — 484 ἐλέησε: ἐλέαιρε DM Lips. Harl. Mosc. 1. — 485 κατέρεψεν G. ὀνόμαζε ACDGHLNO. — 486 μοί γε G. μοι CLMN. λίαν LN. — 487 τις CMN. — 488 οὔτινα φημὶ ADGHLNO Et. Mg. 589, 29. οὔτινά φημι CEM Schol. A 3, α 34. Zonar. Lex. 1369. Apoll. Lex. 113, 12. πεφευγμένον Apoll. Lex. 113, 12.

---

A. c. 475 εἶπεν: ἀρίσταρχος διὰ τοῦ δ εἶπε δ᾽ ἐπευξάμενος Didymus. — 479 εἴποι, non εἴπῃσι hoc loco scribendum est, nam πατρός apud poëtam nusquam primam habet correptam, conf. H. U. 9. optativum εἴποι et hoc loco et ad N 352 profert Nicanor, quem memoria lapsum esse non facile adducor ut credam. quodsi coniunctivo opus esset, εἴπῃ esset scribendum, sed precationi magis accomodatus est optativus, quam coniunctivus loco indicativi futuri positus. ἀρίσταρχος πατρὸς γ᾽ ὅδε Didymus.

οὐ κακόν, οὐδὲ μὲν ἐϲθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
ἀλλ' εἰϲ οἶκον ἰοῦϲα τὰ ϲ' αὐτῆϲ ἔργα κόμιζε,
ἱϲτόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοιϲι κέλευε
ἔργον ἐποίχεϲθαι· πόλεμοϲ δ' ἄνδρεϲϲι μελήϲει
πᾶϲιν, ἐμοὶ δὲ μάλιϲτα, τοὶ Ἰλίῳ ἐγγεγάαϲιν.
    ὣϲ ἄρα φωνήϲαϲ κόρυθ' εἵλετο φαίδιμοϲ Ἕκτωρ
ἵππουριν· ἄλοχοϲ δὲ φίλη οἶκον δὲ βεβήκει
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουϲα.
αἶψα δ' ἔπειθ' ἵκανε δόμουϲ εὖ ναιετάονταϲ
Ἕκτοροϲ ἀνδροφόνοιο, κιχήϲατο δ' ἔνδοθι πολλὰϲ
ἀμφιπόλουϲ, τῇϲιν δὲ γόον πάϲῃϲιν ἐνῶρϲεν.
αἳ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
ἵξεϲθαι προφυγόντα μένοϲ καὶ χεῖραϲ Ἀχαιῶν.
    οὐδὲ Πάριϲ δήθυνεν ἐν ὑψηλοῖϲι δόμοιϲιν,
ἀλλ' ὅ γ', ἐπεὶ κατέδυ κλυτὰ τεύχεα, ποικίλα χαλκῷ,
ϲεύατ' ἔπειτ' ἀνὰ ἄϲτυ ποϲὶ κραιπνοῖϲι πεποιθώϲ.
ὡϲ δ' ὅτε τιϲ ϲτατὸϲ ἵπποϲ ἀκοϲτήϲαϲ ἐπὶ φάτνῃ,

---

V. L. 489 ταπρῶτα L. ταπρῶτα EGN. — 490 τὰ ϲ' αὐτῆϲ D: τὰ ϲαυτῆϲ ACEGHLMNOS Et. Mg. 370, 10. Zonar. Lex. 868. Cram. An. Par. IV, 255, 5. Schol. Soph. Ai. 292. Hesych. III, 184. — 493 τοί: οἳ G. ἐκγεγάαϲιν CGM Vrat. b. 1. man. Mosc. 1. ἐγγεγάαϲι D. ἐνγεγάαϲιν A. — 494 ὡϲ A. — 495 οἶκον δὲ AD. οἶκονδε CGMNO. οἴκονδε EL. οἶκονδ' ἐβεβήκει H Mosc. 1. — 496 κατα DLNO. δάκρυ' D. δακρυχέουϲα HNO. — 497 εὖ, ναιετάονταϲ A. εὖ ναιετάονταϲ CGNO. εὐναιετάονταϲ DLM. — 499 τῇϲι DEGMNO Lips. πᾶϲιν L. — 500 est in margine cod. O. αἳ μὲν C. ζῳὸν E. γόων ENO Lips. Cant. Vrat. b. c. Mosc. 2: ceteri γόον cum Apoll. Lex. 170, 8. Et. Mg. 238, 23. Zonar. Lex. 449. Schol. ν 265. ἐνι A. — 501 ἔτι φάντο Mor. — 503 δόμοιϲι AD. — 505 ϲεύετ' N. ϲεύατο G. — 506 τίϲ CDM. φάτνῃ: φάτνηϲ Et. Mg. 51, 11.

---

A. c. 489 τὰ πρῶτα: τινὲϲ πρωτά, ὡϲ γνωτά, ἵν' ᾖ τὰ πεπρωμένα, οὐχ ὑγιῶϲ Schol. A. conf. Cram. Epim. 340, 8 πρωτὸϲ γὰρ ὀξυτόνωϲ ὁ πεπρωμένοϲ ὑποπεπτωκώϲ (τῇ πεπρωμένῃ ὑποπεπτωκώϲ?), ὅθεν καὶ ἐτόλμηϲάν τινεϲ ἀναγινώϲκειν „ἐπὴν τὰ πρωτὰ γένηται“ κατὰ πεπρωμένην. — 490 τὰ ϲ' αὐτῆϲ, cf. H. U. 139. — 490—493 asterisci: ὀρθῶϲ hoc loco et φ 350; κακῶϲ α 356—359, conf. Schol. α 356. — 493 verborum ordinem propter digammum vocis Ἰλίῳ invertit Bekkerus praeeunte Hoffmanno, et scribit πᾶϲι μάλιϲτα δ' ἐμοί, quod legitur α 359, φ 353, idque probavit Friedlaender. in Iahnii Annalibus, 1859, pg. 817. quibus non assentior, cui certum ac deliberatum est, ultra recensiones Alexandrinorum nullo pacto regredi. — 500 γόον Apollonius et Herodianus, conf. Et. Mg. 238, 23. — 506—511 asterisci: κακῶϲ Ο 263—268.

δεϲμὸν ἀποῤῥήξαϲ, θείῃ πεδίοιο κροαίνων,
εἰωθὼϲ λούεϲθαι ἐυῤῥεῖοϲ ποταμοῖο,
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοιϲ ἀΐϲϲονται· ὃ δ᾽ ἀγλαΐηφι πεποιθώϲ,
ῥίμφά ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
ὣϲ υἱὸϲ Πριάμοιο Πάριϲ κατὰ Περγάμου ἄκρηϲ,
τεύχεϲι παμφαίνων ὥϲ τ᾽ ἠλέκτωρ, ἐβεβήκει
καγχαλόων, ταχέεϲ δὲ πόδεϲ φέρον, αἶψα δ᾽ ἔπειτα
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεόν, εὖτ᾽ ἄρ᾽ ἔμελλε
ϲτρέψεϲθ᾽ ἐκ χώρηϲ, ὅθι ᾗ ὀάριζε γυναικί.
τὸν πρότεροϲ προϲέειπεν Ἀλέξανδροϲ θεοειδήϲ·
ἠθεῖ᾽, ἦ μάλα δή ϲε καὶ ἐϲϲύμενον κατερύκω
δηθύνων, οὐδ᾽ ἦλθον ἐναίϲιμον, ὡϲ ἐκέλευεϲ.
τὸν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
δαιμόνι᾽, οὐκ ἄν τίϲ τοι ἀνήρ, ὃϲ ἐναίϲιμοϲ εἴη,
ἔργον ἀτιμήϲειε μάχηϲ, ἐπεὶ ἄλκιμόϲ ἐϲϲι·
ἀλλὰ ἑκὼν μεθιεῖϲ τε καὶ οὐκ ἐθέλειϲ· τὸ δ᾽ ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῷ, ὅθ᾽ ὑπὲρ ϲέθεν αἴϲχε᾽ ἀκούω
πρὸϲ Τρώων, οἳ ἔχουϲι πολὺν πόνον εἵνεκα ϲεῖο.
ἀλλ᾽ ἴομεν· τὰ δ᾽ ὄπιϲθεν ἀρεϲϲόμεθ᾽, αἴ κέ ποθι Ζεὺϲ

---

V. l. 507 δεϲμὸν δ᾽ G. δεϲμὰ διαρρήξαϲ Et. Mg. 51, 12. θείῃ (vel θείη) ADGHLMNO Cant. Barocc. Mor. Harl. Townl. Vrat. b. Mosc. 2. Suidas I, 1, 171, 15. Et. Mg. 51, 12: θείει CE bis Lips. Hesych. I, 102. πεδίονδε Et. Mg. 51, 12. — 508 εὐρεῖοϲ O. ἐϋρρῆοϲ N. — 510 ἀΐϲονται L. ὃ δ᾽ D 2. man. LMNO. ὅδ᾽ CG. ἀγλαίηφι CEH. ἀγλαιῗφι D 1. man. ἀγλαηῗφι D 2. man. — 511 ῥίμφά ἑ ACDHLN. ῥίμφα ἓ G. — 512 πάϊϲ D 1. man. pro πάριϲ. — 513 τεύχεϲϲι M. ὥϲ τ᾽ L Vrat. c.: ceteri ὥϲτ᾽. ἐμβεβήκει H. — 514 δ᾽ ἓ πόδεϲ G Mor. — 515 ἆρ CGLMNO. ἀρ A. ἔμελλε ACGHNO. — 516 ϲτρέψαϲθαι G. — 518 ἦ θεῖ᾽ Vrat. c. ἤ D. — 519 αἰνέϲιμον N. ἐκέλευεϲ: ἐκέλευϲαϲ GNO. — 521 δαιμόνιε DG. τίϲ ϲοι Bekk. An. 177, 1. τιϲ τοι CL. αἰνέϲιμοϲ MN. εἴηι A. — 522 τοὖργον Vrat. b. ἄλκιμοϲ ἐϲϲί GLNO. — 523 ἀλλ᾽ D. μεθίειϲ ACDE bis GHMOS Bekk. An. 577, 3. μεθίηϲ LN Lips. Vrat. b. γράφεται δὲ καὶ νῦν τὸ μεθίειϲ ἐν τῇ ληγούϲῃ καὶ διὰ τοῦ η̅ Eust. 660, 15, conf. ad Ε 880. — 524 ὅθ᾽ (τι) A. ὑπερ A. — 525 τρῴων GL. — 526 τὰ δ᾽: τὸ δ᾽ N Vrat. b.

---

A. c. 507 conf. G. Hermann. Opusc. II, 43. — 511 Zenodotus ῥίμφ᾽ ἑὰ γοῦνα φέρει, conf. Ariston. ad Ο 405, Ρ 700, Ϲ 148. Ποϲειδώνιοϲ ὁ ἀναγνωϲτὴϲ Ἀριϲτάρχου ἄνευ διαιρέϲεωϲ τὸ ε̅ ψιλῶϲ προφέρεται (ῥίμφαε γοῦνα) Aristonicus. — 518 ἠθεῖ᾽: Ἀρίϲταρχοϲ προπεριϲπᾷ Herodianus.

δώῃ ἐπουρανίοιϲι θεοῖϲ αἰειγενέτῃϲι
κρητῆρα ϲτήϲαϲθαι ἐλεύθερον ἐν μεγάροιϲιν,
ἐκ Τροίηϲ ἐλάϲανταϲ ἐυκνήμιδαϲ Ἀχαιούϲ.

---

# ΙΛΙΑΔΟϹ Η.

Ὣϲ εἰπὼν πυλέων ἐξέϲϲυτο φαίδιμοϲ Ἕκτωρ,
τῷ δ' ἅμ' Ἀλέξανδροϲ κί' ἀδελφεόϲ· ἐν δ' ἄρα θυμῷ
ἀμφότεροι μέμαϲαν πολεμίζειν ἠδὲ μάχεϲθαι.
ὡϲ δὲ θεὸϲ ναύτῃϲιν ἐελδομένοιϲιν ἔδωκεν
οὖρον, ἐπεί κε κάμωϲιν ἐυξέϲτηϲ ἐλάτῃϲι
πόντον ἐλαύνοντεϲ, καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται,
ὣϲ ἄρα τὼ Τρώεϲϲιν ἐελδομένοιϲι φανήτην.
ἔνθ' ἑλέτην ὃ μὲν υἱὸν Ἀρηιθόοιο ἄνακτοϲ,
Ἄρνῃ ναιετάοντα Μενέϲθιον, ὃν κορυνήτηϲ
γείνατ' Ἀρηίθοοϲ καὶ Φυλομέδουϲα βοῶπιϲ·
Ἕκτωρ δ' Ἠϊονῆα βάλ' ἔγχεϊ ὀξυόεντι

---

V. ʟ. 527 δώῃ HMN. δώη CGL. δώιηι AD. διῴη Zonar. Lex. 590. αἰειγενέτηιϲι A. αἰειγενέτηϲι CDGHO. αἰηγενέτηϲϊ N. — 528 ϲτήϲεϲθαι EH Vrat. b. Et. Mg. 329, 52. μεγάροιϲι D. — 529 ἐλάϲαντεϲ Lips. ἐλάϲαϲιν G. εὐκνήμιδαϲ DGMO.

---

V. ʟ. 1 Ὡϲ A. — 3 μέμαϲϲαν G. πολεμίζειν ACDEGL Apoll. de Synt. 45, 6. Et. Mg. 91, 50 et 55: πολεμιζέμεν H. — 5 ἐπεί κε, κάμωϲιν A. ἐπεί κε κάμωϲιν CE Mosc. 1. ἐπὴν κεκάμωϲιν HL. ἐπῆν κεκάμωϲιν D. ἐπὰν κεκάμωϲιν G. ἐπήν κε κάμωϲι Mosc. 2. ἐπεὶ κεκάμωϲι Cant. ἐϋξέϲτῃϲ (οι) S. ἐλάτῃϲι ACDE Cram. Epim. 218, 22. — 6 ἐλαύνοντεϲ: γρ. ἐρέϲϲοντεϲ A Lips. ὑπο ACH. ὕπο G. — 7 ὡϲ A. τρῴεϲϲιν L. — 10 φυλομέδουϲα ACDH Vrat. b. φιλομέδουϲα GLS. — 11 ἕκτωρ δὲ δηϊονῆα G.

---

A. c. 5 ἐπεί κε: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ ἐπήν κε Didymus. ἐπήν κε Sidonius teste Schol. V. ὅτι ἔν τιϲι γράφεται ἐπήν. ἐὰν δὲ οὕτωϲ ἔχῃ, προενεκτέον ὑφ' ἓν κεκάμωϲιν ὡϲ λελάχωϲιν Aristonicus. cf. ad A 168. H. T. 294. — 6 ἐλαύνοντεϲ: κατ' ἔνια τῶν ὑπομνημάτων ἐρέϲϲοντεϲ Didymus. ὑπὸ Herodianus, non ὕπο. — 7 τὼ: οὕτωϲ ἀρίϲταρχοϲ τώ (Cod. τὸ) δυϊκῶϲ Didymus. ἀμμώνιοϲ ἐν τῷ πρὸϲ ἀθηνοκλέα „τοὶ τρώεϲϲι“ προφέρεται πληθυντικῶϲ Didymus. ad προφέρεται supplendum est ὡϲ ἀριϲτάρχειον, vid. H. T. 103 sq. — 9 Ἄρνῃ Zenodotus.